K. K. STAATS-GYMNASIUM RIED
LEHRER-BIBLIOTHEK

# PLATONIS SYMPOSIVM

1666
V. A.
K.K. STAATS-GYMNASIUM RIED
LEHRER-BIBLIOTHEK

# PLATONIS
## SYMPOSIVM

IN VSVM SCHOLARVM

EDIDIT

OTTO IAHN




BONNAE

APVD A. MARCVM

MDCCCLXIV

CHRISTIANO AVGVSTO BRANDIS

PHILOSOPHO PHILOLOGO

COLLEGAE INTEGERRIMO

B (Bekkeri 𝔄) codex membranaceus, quem E. D. Clarkius ex bibliotheca monasterii S. Ioannis in Patmo ablatum in Bodleianam uniuersitatis oxoniensis intulit (cf. Clarkii travels II, 2 p. 348), ubi n. 39 notatur. scriptus est a. 896 ut docet subscriptio in fine addita (cf. Porsoni tracts p. 269)

*ἐγράφη χειρὶ Ἰω καλλιγράφου*
*εὐτυχῶς ἀρέθαι διακόνωι πα*
*τρεῖ· νομισμάτων βυζαντί*
*ων δέκα καὶ τριῶν μηνὶ νοεμ*
*βρίωι ἰνδικτίων ιδ ἔτει κόσμου*
*ϛυδ· βασιλείας λέοντος τοῦ φι*
*λοχυ· υἱοῦ βασιλείου τοῦ ἀειμνήστου*

contulit post Th. Gaisfordium (lectt. platon. Oxon. 1820 p. 90 sqq.) uir graece doctissimus, Beniamin Iowettius, liberalitate non minus quam libertate animi insignis, qui lectiones diligentissime enotatas humanissime mecum communicauit. eas summa cum fide rettuli, nisi quod accentus omissos hic illic notare supersedi.

V (Bekkeri Δ) codex membranaceus bibliothecae uaticanae n. 225, qui inde a. f. 381 b symposium exhibet. post Bekkerum accuratissime mihi contulit Eugenius Petersenius. habui praeterea uarias lectiones Bastii manu nitidissime descriptas.

C (Bekkeri Γ) codex bombycinus coislinianus 155 bibliothecae imperialis parisiensis, scriptus saec. XIIII, in quo inde a fol. 149 b symposium legitur. post Bekkerum in usum meum officiose contulit summa diligentia Alfredus Holderus.

ς codicum reliquorum uel plerique uel aliquot.

Locos platonicos ab Ioa. Stobaeo in eclogas physicas relatos exhibui ad fidem codicis borbonici n. 299 (farnes. A), ceterorum archetypi, a Curtio Wachsmuthio conlati.

Hermannus Sauppius et Hermannus Vsenerus emendationes a se excogitatas amicissime mihi utendas concesserunt.

In scholiis recensendis adhibui copias a Siebenkeesio (anecd. graec. 1798), Ruhnkenio (schol. in Platonem 1800), Gaisfordio (catal. codd. Clark. 1812), Bekkero (comment. crit. 1823) paratas.

## NOTITIA IMAGINVM

In fronte libri statua parua marmorea exhibita est, quae Platonem sedentem uolumen manibus tenentem reddit; sellae nomen *πΛΑΤΩΝ* inscriptum est. edidit Aemilius Braunius (mon. ined. d. inst. III, 7). cf. Diog. Laert. III, 25 *ἐν δὲ τῷ πρώτῳ τῶν ἀπομνημονευμάτων Φαβωρίνου φέρεται ὅτι Μιθριδάτης ὁ Πέρσης ἀνδρίαντα Πλάτωνος ἀνέθετο εἰς τὴν Ἀκαδημίαν καὶ ἐνέγραψε· Μιθριδάτης ὁ Ῥοδοβάτου* ⟨*Ὀροντοβάτου* Marresius de Fauorino p. 102⟩ *Πέρσης Μούσαις εἰκόνα ἀνέθηκε Πλάτωνος, ἣν Σιλανίων ἐποίησε.*

In fronte symposii pictura uasculi a Millino editi (peint. de uas. ant. II. 58) uiros et iuuenes praesente Amore conuiuantes repraesentat.

In fine symposii anaglyphum arculae aheneae Pompeis repertae Diotimam monstrat Socratem Amoris mysteriis initiantem. post Auellinium (descr. di una casa pompeiana, 1837. mus. borb. VIIII, 59) explicaui (ann. d. inst. XIII p. 272 sqq.).

In fronte testimoniorum Socratis caput notissimum, in fine Alcibiadis protome ad exemplum uaticanum nondum editum curam agente Wolfgango Helbigio delineata exhibetur.



## *ΠΛΑΤΩΝΟΣ ΣΥΜΠΟΣΙΟΝ.*

*Δοκῶ μοι περὶ ὧν πυνθάνεσθε οὐκ ἀμελέτητος εἶναι.* 172
*καὶ γὰρ ἐτύγχανον πρώην εἰς ἄστυ οἴκοθεν ἀνιὼν Φαληρόθεν.
τῶν οὖν γνωρίμων τις ὄπισθεν κατιδών με πόρρωθεν ἐκάλεσε
καὶ παίζων ἅμα τῇ κλήσει Ὦ Φαληρεύς, ἔφη, οὗτος Ἀπολλό-
δωρος, οὐ περιμενεῖς; κἀγὼ ἐπιστὰς περιέμεινα· καὶ ὅς Ἀπολ-
λόδωρε, ἔφη, καὶ μὴν καὶ ἔναγχός σε ἐζήτουν βουλόμενος δια-
πυθέσθαι τὴν Ἀγάθωνος ξυνουσίαν καὶ Σωκράτους καὶ Ἀλκι-* B

*Συμπόσιον ἢ περὶ ἔρωτος ἠθικός*, in marg. *περὶ ἀγαθοῦ* B *συμπόσιον ἢ περὶ ἀγαθοῦ ἠθικός* V *συμπόσιον ἢ περὶ ἔρωτος* C *συμπόσιον ἢ περὶ ἀγαθοῦ ἠθικός* Diog. Laert. III, 58.

2 *πρώιην* B | 3 *τίς* B | *ὄπισθε* C | 4 *ὁ Φαληρεύς* ς | 5 *οὐ σὺ* Sauppius | *περιμένεις* BV | *περιέμεινα* V | *Ἀπολλόδωρε — ἐζήτουν* om. C | 6 *ἀλώμενος* C | 7 *συνουσίαν* V

2 *schol.* *Φάληρον δῆμος Αἰαντίδος, ἐξ οὗ Ἀπολλόδωρος.* | 7 *schol.* B *Ἀγάθων τραγῳδί(ας ποιητὴς) ἐπὶ μαλακίᾳ (σκωπτόμενος Ἀριστοφάνει τῷ Γηρυ)τάδῃ. ἦν δ' οὗτος (Τισαμενοῦ) παῖς Ἀθηναῖος, (παιδικὰ γεγονὼς Παυ)σανίου τοῦ τραγικ(οῦ,* ⟨*καὶ Εὐριπίδου τοῦ τραγικοῦ* Cramerus⟩ *μεθ' οὗ πρὸς Ἀρ)χέλαον τὸν βασιλέα ᾤχετο, ὡς Μαρ(σύας ὁ) νεώτερος. ἐμιμεῖτο δὲ τὴν κομψότητα τῆς λέξεως Γοργίου τοῦ ῥήτορος.* ⟨lacunas explet schol. Lucian. rhet. praec. 11 cf. Crameri anecd. Oxon. IV p. 269. | *schol. Arist. ran.* 84 *φασὶν ὅτι τὸ Πλάτωνος συμπόσιον ἐν ἑστιάσει αὐτοῦ* ⟨*Ἀγάθωνος*⟩ *γέγραπται, πολλῶν ἅμα φιλοσόφων παρ' αὐτῷ καταχθέντων.*

βιάδου καὶ τῶν ἄλλων τῶν τότε ἐν τῷ συνδείπνῳ παραγενο-
μένων, περὶ τῶν ἐρωτικῶν λόγων, τίνες ἦσαν. ἄλλος γάρ τις
μοι διηγεῖτο ἀκηκοὼς Φοίνικος τοῦ Φιλίππου, ἔφη δὲ καὶ σὲ
εἰδέναι· ἀλλὰ γὰρ οὐδὲν εἶχε σαφὲς λέγειν. σὺ οὖν μοι διή-
γησαι· δικαιότατος γὰρ εἶ τοὺς τοῦ ἑταίρου λόγους ἀπαγγέλ-
λειν. πρότερον δέ μοι, ἦ δ' ὅς, εἰπέ, σὺ αὐτὸς παρεγένου τῇ
C συνουσίᾳ ταύτῃ ἢ οὔ; κἀγὼ εἶπον ὅτι Παντάπασιν ἔοικέ σοι
οὐδὲν διηγεῖσθαι σαφὲς ὁ διηγούμενος, εἰ νεωστὶ ἡγεῖ τὴν συ-
νουσίαν γεγονέναι ταύτην ἣν ἐρωτᾷς, ὥστε κἀμὲ παραγενέσθαι.
Ἔγωγε δή. Πόθεν, ἦν δ' ἐγώ, ὦ Γλαύκων; οὐκ οἶσθ' ὅτι πολ-
λῶν ἐτῶν Ἀγάθων ἐνθάδε οὐκ ἐπιδεδήμηκεν; ἀφ' οὗ δ' ἐγὼ
Σωκράτει συνδιατρίβω καὶ ἐπιμελὲς πεποίημαι ἑκάστης ἡμέ-
ρας εἰδέναι ὅ τι ἂν λέγῃ ἢ πράττῃ, οὐδέπω τρία ἔτη ἐστίν·
173 πρὸ τοῦ δὲ περιτρέχων ὅπῃ τύχοιμι καὶ οἰόμενος τὶ ποιεῖν
ἀθλιώτερος ἦ ὁτουοῦν, οὐχ ἧττον ἢ σὺ νυνί, οἰόμενος δεῖν
πάντα μᾶλλον πράττειν ἢ φιλοσοφεῖν. καὶ ὅς Μὴ σκῶπτ',
ἔφη, ἀλλ' εἰπέ μοι πότε ἐγένετο ἡ συνουσία αὕτη. κἀγὼ εἶ-
πον ὅτι Παίδων ὄντων ἡμῶν ἔτι, ὅτε τῇ πρώτῃ τραγῳδίᾳ ἐνί-
κησεν Ἀγάθων, τῇ ὑστεραίᾳ ᾗ τἀπινίκια ἔθυεν αὐτός τε καὶ
οἱ χορευταί. Πάνυ, ἔφη, ἄρα πάλαι, ὡς ἔοικεν. ἀλλὰ τίς σοι
B διηγεῖτο; ἢ αὐτὸς Σωκράτης; Οὐ μὰ τὸν Δία, ἦν δ' ἐγώ, ἀλλ'
ὅσπερ Φοίνικι· Ἀριστόδημος ἦν τις, Κυδαθηναιεύς, σμικρός,
ἀνυπόδητος ἀεί· παραγεγόνει δ' ἐν τῇ συνουσίᾳ, Σωκράτους
ἐραστὴς ὢν ἐν τοῖς μάλιστα τῶν τότε, ὡς ἐμοὶ δοκεῖ. οὐ μέν-
τοι ἀλλὰ καὶ Σωκράτη γε ἔνια ἤδη ἀνηρόμην ὧν ἐκείνου ἤκουσα
καί μοι ὡμολόγει καθάπερ ἐκεῖνος διηγεῖτο. Τί οὖν, ἔφη, οὐ
διηγήσω μοι; πάντως δὲ ἡ ὁδὸς ἡ εἰς ἄστυ ἐπιτηδεία πορευο-

1 δείπνῳ V συνδειπνεῖν C | 8 οὐθὲν B (supra οὐδὲν) V | εἰ νεωστὶ — ἐπιδεδήμηκεν l. Athenaeus V p. 217 B | 9 κἀμὲ Athenaeus: καὶ ἐμὲ BVC | 10 ἐγὼ γάρ Athenaeus | 12 Σωκρατει in rasura C | 13 πράττει V | ἐστί VC | 14 προτοῦ C | 15 ἦ in rasura B ἢ VC ἦν vc | νῦν C | 17 ἀλλ' — Ἀγάθων l. Athenaeus V p. 217 C | ποτ' C | πρώτῃ om. Athenaeus | 19 τῇ ὑστεραίᾳ τὰ ἐπινίκια ἔθυεν l. Priscianus XVIII, 290 p. 1207 | ᾗ ᾗ C | τἀπινίκια Cobetus uarr. lectt. p. 140: τὰ ἐπινίκια BVC | 20 τί C τις c | 23 ἀεί in rasura B αἰεί C τ' ἀεὶ Astius | 25 καὶ om. C

14 *schol.* ἦ· ἀττικὸν τοῦτο, ἀπὸ τοῦ ἔα συνῃρημένον. σημαίνει δὲ τὸ ἔα τὸ ὑπῆρχον. ἔστι γὰρ ἀπὸ τοῦ ἦν κατὰ διάλυσιν ἰωνικήν. Ὅμηρος ⟨Δ, 321⟩ 'εἰ τότε κοῦρος ἔα, νῦν αὖτέ με γῆρας ἱκάνει'. | 18 *schol. Arist. thesmoph. 32* ἐπειδὴ οὐ πάλαι ἤρξατο διδάσκειν ⟨Ἀγάθων⟩, ἀλλὰ τρισὶν πρὸ τούτου ἔτεσιν. | 23 *schol.* Κυδαθήναιον δῆμος ἐν ἄστει τῆς Πανδιονίδος φυλῆς — καλεῖται δὲ καὶ Κύδαθον —, ἐξ οὗ Ἀριστόδημος.



μένοις καὶ λέγειν καὶ ἀκούειν. Οὕτω δὴ ἰόντες ἅμα τοὺς λό-
γους περὶ αὐτῶν ἐποιούμεθα, ὥστε, ὅπερ ἀρχόμενος εἶπον, οὐκ C
ἀμελετήτως ἔχω. εἰ οὖν δεῖ καὶ ὑμῖν διηγήσασθαι, ταῦτα χρὴ
ποιεῖν. καὶ γὰρ ἔγωγε καὶ ἄλλως, ὅταν μέν τινας περὶ φιλο-
σοφίας λόγους ἢ αὐτὸς ποιῶμαι ἢ ἄλλων ἀκούω, χωρὶς τοῦ
οἴεσθαι ὠφελεῖσθαι ὑπερφυῶς ὡς χαίρω· ὅταν δὲ ἄλλους τι-
νάς, ἄλλως τε καὶ τοὺς ὑμετέρους τοὺς τῶν πλουσίων καὶ χρη-
ματιστικῶν, αὐτός τε ἄχθομαι ὑμᾶς τε τοὺς ἑταίρους ἐλεῶ,
ὅτι οἴεσθε τὶ ποιεῖν οὐδὲν ποιοῦντες. καὶ ἴσως αὖ ὑμεῖς ἐμὲ
ἡγεῖσθε κακοδαίμονα εἶναι, καὶ οἴομαι ὑμᾶς ἀληθῆ οἴεσθαι· D
ἐγὼ μέντοι ὑμᾶς οὐκ οἴομαι ἀλλ' εὖ οἶδα. — Ἀεὶ ὅμοιος εἶ, ὦ
Ἀπολλόδωρε· ἀεὶ γὰρ σαυτόν τε κακηγορεῖς καὶ τοὺς ἄλλους,
καὶ δοκεῖς μοι ἀτεχνῶς πάντας ἀθλίους ἡγεῖσθαι πλὴν Σωκρά-
τους, ἀπὸ σαυτοῦ ἀρξάμενος. καὶ ὁπόθεν ποτὲ ταύτην τὴν
ἐπωνυμίαν ἔλαβες τὸ μανικὸς καλεῖσθαι, οὐκ οἶδα ἔγωγε· ἐν
μὲν γὰρ τοῖς λόγοις ἀεὶ τοιοῦτος εἶ· σαυτῷ τε καὶ τοῖς ἄλλοις
ἀγριαίνεις πλὴν Σωκράτους. — Ὦ φίλτατε, καὶ δῆλόν γε δὴ E
ὅτι οὕτω διανοούμενος καὶ περὶ ἐμαυτοῦ καὶ περὶ ὑμῶν μαί-
νομαι καὶ παραπαίω. — Οὐκ ἄξιον περὶ τούτων, Ἀπολλόδωρε,
νῦν ἐρίζειν· ἀλλ' ὅπερ ἐδεόμεθά σου, μὴ ἄλλως ποιήσῃς, ἀλλὰ
διήγησαι, τίνες ἦσαν οἱ λόγοι. — Ἦσαν τοίνυν ἐκεῖνοι τοιοίδε
τινές· μᾶλλον δ' ἐξ ἀρχῆς ὑμῖν, ὡς ἐκεῖνος διηγεῖτο, καὶ ἐγὼ 174
πειράσομαι διηγήσασθαι.

2 Ἔφη γάρ οἱ Σωκράτη ἐντυχεῖν λελουμένον τε καὶ τὰς βλαύ-
τας ὑποδεδεμένον, ἃ ἐκεῖνος ὀλιγάκις ἐποίει· καὶ ἐρέσθαι αὐ-
τὸν ὅποι ἴοι οὕτω καλὸς γεγενημένος. καὶ τὸν εἰπεῖν ὅτι Ἐπὶ
δεῖπνον εἰς Ἀγάθωνος. χθὲς γὰρ αὐτὸν διέφυγον τοῖς ἐπινι-
κίοις, φοβηθεὶς τὸν ὄχλον· ὡμολόγησα δ' εἰς τήμερον παρέ-
σεσθαι. ταῦτα δὲ ἐκαλλωπισάμην, ἵνα καλὸς παρὰ καλὸν ἴω.

3 εἰ οὖν δοκεῖ R. B. Hirschigius ztschr. f. d. alterth. wiss. 1851 p. 325 | 6 ὅτ' ἂν C | 9 αὖ μεις V | 10 ἡγεῖσθαι BV | 11 αἰεί V | 14 ὁποθέν ποτε V | 15 μανικός ς: μαλακός BVC | εὖ οἶδα Bastius krit. uers. p. 4 | 16 αἰεί V | 24 γὰρ B γάρ b | κλαυτας C | 25 ἃ — ἐποίει del. R. B. Hirschigius ztschr. f. d. alterth. wiss. 1851 p. 351 | ἔρεσθαι C | 29 παρὰ τοῦ καλοῦ C παρὰ τὸν καλὸν c

10 *Plut. Cat. min. 46* ἑταῖρος καὶ ζηλωτὴς οἷος ὁ Φαληρεὺς Ἀπολλόδωρος ἱστορεῖται περὶ Σωκράτην γενέσθαι, ἐμπαθὴς καὶ παρακεκινηκὼς πρὸς τὸν λόγον, οὐ σχέδην οὐδὲ πρᾴως, ἀλλ' ἄκρατον αὐτοῦ καθαψάμενον ὥσπερ οἶνον καὶ μανικώτερον. | 24 *schol.* βλαύτας· ὑποδήματα. οἱ δὲ βλαυτία, σανδάλια ἰσχνά.

B ἀλλὰ σύ, ἦ δ' ὅς, πῶς ἔχεις πρὸς τὸ ἰέναι ἄκλητος ἐπὶ δεῖπνον;
κἀγώ, ἔφη, εἶπον ὅτι Οὕτως ὅπως ἂν σὺ κελεύῃς. Ἕπου τοί-
νυν, ἔφη, ἵνα καὶ τὴν παροιμίαν διαφθείρωμεν μεταβάλλοντες,

1 ηδ' ός B | τὸ ἰέναι Cobetus apud Mehlerum ad Xenoph. conu. p. 55. nouu. lectt. p. 108 (mnemos. IV p. 304): τὸ ἐθέλειν ἀνιέναι BVC τὸ ἐθέλειν ἂν ἰέναι Stephanus | 3 ἵνα — ἀμείνονος δίαιταν l. Athenaeus V p. 178 A

3 *schol.* αὐτόματοι δ' ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασι. ταύτην δὲ λέγουσιν εἰρῆσθαι ἐπὶ Ἡρακλεῖ, ὃς ὅτε εἱστιῶντο τῷ Κήυκι ξένοι ἐπέστη. Κρατῖνος δὲ ἐν Πυλαίᾳ μεταλλάξας αὐτὴν γράφει οὕτως ⟨fr. 169⟩

οἱδ' αὖθ' ἡμεῖς, ὡς ὁ παλαιὸς
λόγος, αὐτομάτους ἀγαθοὺς ἰέναι
κομψῶν ἐπὶ δαῖτα θεατῶν.

καὶ Εὔπολις ἐν χρυσῷ γένει ⟨fr. 289⟩. *Zenob. II, 19* αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἵενται· οὕτως Ἡράκλειτος ⟨Ἡσίοδος Schneidewinus⟩ ἐχρήσατο τῇ παροιμίᾳ, ὡς Ἡρακλέους ἐπιφοιτήσαντος ἐπὶ τὴν οἰκίαν Κήυκος τοῦ Τραχινίου καὶ οὕτως εἰπόντος. Εὔπολις δὲ ἐν χρυσῷ γένει, ἑτέρως φησὶν ἔχειν τὴν παροιμίαν ʽαὐτόματοι δ' ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασιν.ʼ καὶ ὁ Πλάτων ἐν τῷ συμποσίῳ οὕτως αὐτῇ ἐχρήσατο. *Athen. V p. 178 A* Πλάτων δ' ἐν τῷ συμποσίῳ περὶ τῶν αὐτῶν λέγει οὕτως ʽἵνα — δίαιταν.ʼ Βακχυλίδης δὲ περὶ Ἡρακλέους λέγων ὡς ἦλθεν ἐπὶ τὸν τοῦ Κήυκος οἶκον φησὶν ⟨fr. 33⟩

ἔστη δ' ἐπὶ λάινον οὐδόν,
τοὶ δὲ θοίνας ἔντυον, ὧδε τ' ἔρα·
αὐτόματοι δ' ἀγαθῶν
δαῖτας εὐόχθους ἐπέρχονται δίκαιοι
φῶτες.

αἱ δὲ παροιμίαι ἣ μέν φασι ʽαὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασινʼ, ἣ δὲ ʽαὐτόματοι ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασινʼ. οὐ δεόντως γοῦν Πλάτων τὸν Μενέλεων ἐνόμισεν εἶναι δειλόν, ὃν ἀρηίφιλον Ὅμηρος λέγει ⟨*P*, 1⟩ καὶ μόνον ὑπὲρ Πατρόκλου ἀριστεύσαντα ⟨*P*⟩, καὶ τῷ Ἕκτορι πρὸ πάντων πρόθυμον μονομαχεῖν ⟨*H*, 94⟩, καίπερ ὄντα τῇ ῥώμῃ καταδεέστερον, ἐφ' οὗ μόνου τῶν στρατευσαμένων εἴρηκεν ⟨*B*, 588⟩ ʽἐν δ' αὐτὸς κίεν ᾗσι προθυμίῃσι πεποιθώςʼ. εἰ δὲ ὁ ἐχθρὸς ὁ βλασφημῶν αὐτὸν εἴρηκε μαλθακὸν αἰχμητήν ⟨*P*, 588⟩, καὶ διὰ τοῦτο Πλάτων τῷ ὄντι μαλθακὸν αὐτὸν ὑπολαμβάνει, οὐκ ἂν φθάνοι καὶ τὸν Ἀγαμέμνονα τιθεὶς ἐν τοῖς φαύλοις, ὃν αὐτός φησιν εἶναι ἀγαθόν, εἴπερ εἰς αὐτὸν εἴρηται τοῦτο τὸ ἔπος ⟨*A*, 225⟩ ʽοἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιοʼ. οὐ γὰρ εἴ τι λέγεται παρ' Ὁμήρῳ, τοῦθ' Ὅμηρος λέγει. πῶς γὰρ ἂν εἴη μαλθακὸς Μενέλαος ὁ τὸν Ἕκτορα μόνος ἀπείρξας τοῦ Πατρόκλου ⟨*P*, 89⟩ καὶ Εὔφορβον ἀποκτείνας τε καὶ σκυλεύσας ἐν μέσοις τοῖς Τρωσί ⟨*P*, 95⟩; τὸ δὲ μηδὲ τὸν στίχον ὃν ᾐτιᾶτο τελείως κατανοῆσαι



ὡς ἄρα καὶ Ἀγάθων' ἐπὶ δαῖτας ἴασιν αὐτόματοι ἀγαθοί. Ὅμη-
ρος μὲν γὰρ κινδυνεύει οὐ μόνον διαφθεῖραι ἀλλὰ καὶ ὑβρίσαι
εἰς ταύτην τὴν παροιμίαν· ποιήσας γὰρ τὸν Ἀγαμέμνονα δια-
φερόντως ἀγαθὸν ἄνδρα τὰ πολεμικά, τὸν δὲ Μενέλεων μαλ- C
θακὸν αἰχμητήν, θυσίαν ποιουμένου καὶ ἑστιῶντος τοῦ Ἀγα-
μέμνονος ἄκλητον ἐποίησεν ἐλθόντα τὸν Μενέλεων ἐπὶ τὴν θοί-
νην, χείρω ὄντα ἐπὶ τὴν τοῦ ἀμείνονος. ταῦτ' ἀκούσας εἰπεῖν
ἔφη Ἴσως μέντοι κινδυνεύσω καὶ ἐγὼ οὐχ ὡς σὺ λέγεις, ὦ Σώ-
κρατες, ἀλλὰ καθ' Ὅμηρον φαῦλος ὢν ἐπὶ σοφοῦ ἀνδρὸς ἰέναι
θοίνην ἄκλητος. ἆρ' οὖν ἄγων μέ τι ἀπολογήσει; ὡς ἐγὼ μὲν D
οὐχ ὁμολογήσω ἄκλητος ἥκειν, ἀλλ' ὑπὸ σοῦ κεκλημένος. ʽΣύν
τε δύ'ʼ ἔφη ʽἐρχομένω πρὸ ὁ τοῦʼ βουλευσόμεθα ὅ τι ἐροῦ-
μεν. ἀλλ' ἴωμεν.

Τοιαῦτ' ἄττα σφᾶς ἔφη διαλεχθέντας ἰέναι. τὸν οὖν Σω-
κράτη ἑαυτῷ πως προσέχοντα τὸν νοῦν κατὰ τὴν ὁδὸν πορεύε-
σθαι ὑπολειπόμενον καὶ περιμένοντος οὗ κελεύειν προιέναι εἰς
τὸ πρόσθεν. ἐπειδὴ δὲ ἓ γενέσθαι ἐπὶ τῇ οἰκίᾳ τῇ Ἀγάθωνος,
ἀνεῳγμένην καταλαμβάνειν τὴν θύραν, καί τι ἔφη αὐτόθι γε- E
λοῖον παθεῖν. οἷ μὲν γὰρ εὐθὺς παῖδά τινα τῶν ἔνδον ἀπαν-
τήσαντα ἄγειν οὗ κατέκειντο οἱ ἄλλοι, καὶ καταλαμβάνειν ἤδη
μέλλοντας δειπνεῖν· εὐθὺς δ' οὖν ὡς ἰδεῖν τὸν Ἀγάθωνα, Ὦ,
φάναι, Ἀριστόδημε, εἰς καλὸν ἥκεις, ὅπως συνδειπνήσῃς· εἰ δ'
ἄλλου τινὸς ἕνεκα ἦλθες, εἰς αὖθις ἀναβαλοῦ, ὡς καὶ χθὲς ζη-
τῶν σε, ἵνα καλέσαιμι, οὐχ οἷός τ' ἦ ἰδεῖν. ἀλλὰ Σωκράτη

1 Ἀγάθων' Lachmannus praef. Babr. p. XIX: ἀγαθῶν BVC Athenaeus | ἰᾶσιν B ἴασιν b | 3 εἰς αὐτήν Athenaeus | διαφερόντως et ἄνδρα om. Athenaeus | 4 τὸν Μενέλαον δὲ Athenaeus | μενέλαον C | 5 καὶ ἑστιῶντος om. Athenaeus | 6 ἐλθόντα τὸν χείρονα ἐπὶ τὴν τοῦ ἀμείνονος δίαιταν Athenaeus | 7 ἀκούσας ταῦτα C | 10 ἄρα BV | ἀγαγών Creuzerus ad Plotin. de pulchr. p. 518 | τί Astius | 11 σύν — ἴωμεν l. schol. Lucian. somn. 1. σύν — ἐροῦμεν l. Hermogenes π. ἰδ. II, 4 t. III p. 320 W. | 12 ὁ τοῦ B Gottleberus anim. ad Plat. Phaed. p. 119: ὁδοῦ schol. Luc. VC om. Hermogenes | 13 ἀλλ' ἐῶμεν BV ἀλλὰ ἴωμεν C | 17 ἓ add. Cobetus nouu. lectt. p. 471 (mnemos. VI p. 403) | 18 καὶ τί C | 19 Photius οἷ· περισπωμένως ἀντὶ τοῦ ἑαυτῷ, ὀξυτόνως δὲ τὸ οὗτοι. συμποσίῳ ʽοἷ μὲν γὰρ εὐθὺς παῖδά τινα τῶν ἔνδον ἀπαντήσανταʼ. | τινα ἔνδοθεν BVC | 21 ὧι B | 22 συνδειπνήσεις ς | 24 οἷός τ' ἦ ς: οἷός τ' B οἷός τε V οἷός τ' ἦν C

ἄτοπον, δι' οὗ βοὴν ἀγαθὸς Μενέλαος λέγεται. τοῖς γὰρ ἀνδρειοτάτοις Ὅμηρος εἴωθεν ἐπιφωνεῖν, καλούντων τῶν παλαιῶν τὸν πόλεμον βοήν. | 4 *Homer. Il. P, 587* οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ μαλθακὸς αἰχμητής. | 5 *Homer. Il. B, 404* κίκλησκεν δὲ γέροντας ἀριστῆας Παναχαιῶν, — *408* αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος. | 11 *Homer. Il. K, 224* σύν τε δύ' ἐρχομένω καὶ τὸ πρὸ ὃ τοῦ ἐνόησεν ὅππως κέρδος ἔῃ.

ἡμῖν πῶς οὐκ ἄγεις; Καὶ ἐγώ, ἔφη, μεταστρεφόμενος οὐδαμοῦ
ὁρῶ Σωκράτη ἑπόμενον. εἶπον οὖν, ὅτι καὶ αὐτὸς μετὰ Σωκράτους
ἥκοιμι, κληθεὶς ὑπ' ἐκείνου δεῦρ' ἐπὶ δεῖπνον. Καλῶς, ἔφη, ποιῶν
175 σύ· ἀλλὰ ποῦ ἔστιν οὗτος; Ὄπισθεν ἐμοῦ ἄρτι εἰσῄει· ἀλλὰ θαυ-
μάζω καὶ αὐτός, ποῦ ἂν εἴη. Οὐ σκέψει, ἔφη, παῖ, φάναι τὸν Ἀγά-
θωνα, καὶ εἰσάξεις Σωκράτη; σὺ δ', ἦ δ' ὅς, Ἀριστόδημε, παρ'
Ἐρυξίμαχον κατακλίνου. καὶ ἓ μὲν ἔφη ἀπονίζειν τὸν παῖδα, ἵνα 3
κατακέοιτο· ἄλλον δέ τινα τῶν παίδων ἥκειν ἀγγέλλοντα, ὅτι Σω-
κράτης οὗτος ἀναχωρήσας ἐν τῷ τῶν γειτόνων προθύρῳ ἕστηκε
καὶ οὗ καλοῦντος οὐκ ἐθέλει εἰσιέναι. Ἄτοπόν γ', ἔφη, λέγεις· οὔ-
B κουν καλεῖς αὐτὸν καὶ μὴ ἀφήσεις; Καὶ ὃς ἔφη εἰπεῖν Μηδαμῶς,
ἀλλ' ἐᾶτε αὐτόν. ἔθος γάρ τι τοῦτ' ἔχει· ἐνίοτε ἀποστὰς ὅποι
ἂν τύχῃ ἕστηκεν. ἥξει δ' αὐτίκα, ὡς ἐγὼ οἶμαι. μὴ οὖν κι-
νεῖτε, ἀλλ' ἐᾶτε. Ἀλλ' οὕτω χρὴ ποιεῖν, εἰ σοὶ δοκεῖ, φάναι
τὸν Ἀγάθωνα. ἀλλ' ἡμᾶς, ὦ παῖδες, τοὺς ἄλλους ἑστιᾶτε.
πάντως παρατίθετε ὅ τι ἂν βούλησθε, † ἐπειδάν τις ὑμῖν μὴ
ἐφεστήκει· ὃ ἐγὼ οὐδεπώποτε ἐποίησα· νῦν οὖν, νομίζοντες
C καὶ ἐμὲ ὑφ' ὑμῶν κεκλῆσθαι ἐπὶ δεῖπνον καὶ τούσδε τοὺς ἄλ-
λους, θεραπεύετε, ἵν' ὑμᾶς ἐπαινῶμεν.

Μετὰ ταῦτα ἔφη σφᾶς μὲν δειπνεῖν, τὸν δὲ Σωκράτη οὐκ
εἰσιέναι. τὸν οὖν Ἀγάθωνα πολλάκις κελεύειν μεταπέμψασθαι
τὸν Σωκράτη, ἓ δὲ οὐκ ἐᾶν. ἥκειν οὖν αὐτὸν οὐ πολὺν χρό-
νον, ὡς εἰώθει, διατρίψαντα, ἀλλὰ μάλιστα σφᾶς μεσοῦν δει-
πνοῦντας. τὸν οὖν Ἀγάθωνα, τυγχάνειν γὰρ ἔσχατον κατακεί-
μενον μόνον, Δεῦρ', ἔφη φάναι, Σώκρατες, παρ' ἐμὲ κατάκεισο,
D ἵνα καὶ τοῦ σοφοῦ ἀπολαύσω, ὅ σοι προσέστη ἐν τοῖς προθύ-
ροις. δῆλον γὰρ ὅτι εὗρες αὐτὸ καὶ ἔχεις· οὐ γὰρ ἂν προα-
πέστης. καὶ τὸν Σωκράτη καθίζεσθαι καὶ εἰπεῖν ὅτι Εὖ ἂν
ἔχοι, φάναι, ὦ Ἀγάθων, εἰ τοιοῦτον εἴη ἡ σοφία, ὥστ' ἐκ
τοῦ πληρεστέρου εἰς τὸν κενώτερον ῥεῖν ἡμῶν, ἐὰν ἁπτώμεθα
ἀλλήλων, ὥσπερ τὸ ἐν ταῖς κύλιξιν ὕδωρ τὸ διὰ τοῦ ἐρίου ῥέον

1 οὐδαμῇ C | 4 εἰσῄειν Cobetus nouu. lectt. p. 221 | 5 ὅπου R. B. Hirschigius ztschr. f. d. alterth. wiss. 1851 p. 325 | 7 ἓ μὲν Bastius krit. uers. p. 10: ἐμέ BVC | 8 Σωκράτης del. R. B. Hirschigius ztschr. f. d. alterth. wiss. 1851 p. 325 | 10 καὶ σοῦ C κἀμοῦ ς | οὐκοῦν VC | 11 κάλεις B | 12 ἐᾶτε αὐτόν· ἔθος γάρ τι τοῦτο ἔχει l. Priscianus XVIII, 293 p. 1208 | ὅπῃ ἂν τύχοι B | 13 ἐγῷμαι ς | 14 εἴ σοι C | ἔφη φάναι C | 16 ἐπειδάν τις BC ἐπειδ' αν τις V ἐπεί, 'τᾶν, τις Hommelius εἴ γ' ὁ ταμίας Vsenerus | 17 ἐφεστήκοι C ἐφεστήκῃ ς | οὐδὲ πωποτε B | 19 ἵνα B | 20 ταῦτ' C | 22 ὁ V ἓ om. C τὸν add. c ἵ δὲ Bekkerus | 25 φάναι om. C | ἐμὲ φάναι κατάκεισο C | 26 σοφοῦ ἁπτόμενος C σοφοῦ ἁπτόμενός σου ς | πρόσεστιν BV | 28 καθέζεσθαι C | 29 ὀργάνου Cornarius ὑλιστηρίου uel ἠθηνίου Fischerus



ἐκ τῆς πληρεστέρας εἰς τὴν κενωτέραν. εἰ γὰρ οὕτως ἔχει καὶ
ἡ σοφία, πολλοῦ τιμῶμαι τὴν παρὰ σοὶ κατάκλισιν· οἶμαι γάρ E
με παρὰ σοῦ πολλῆς καὶ καλῆς σοφίας πληρωθήσεσθαι. ἡ
μὲν γὰρ ἐμὴ φαύλη τις ἂν εἴη καὶ ἀμφισβητήσιμος, ὥσπερ
ὄναρ οὖσα, ἡ δὲ σὴ λαμπρά τε καὶ πολλὴν ἐπίδοσιν ἔχουσα, εἴ
γε παρὰ σοῦ νέου ὄντος οὕτω σφόδρα ἐξέλαμψε καὶ ἐκφανὴς
ἐγένετο πρώην ἐν μάρτυσι τῶν Ἑλλήνων πλέον ἢ τρισμυρίοις.
Ὑβριστὴς εἶ, ἔφη, ὦ Σώκρατες, ὁ Ἀγάθων. καὶ ταῦτα μὲν καὶ
ὀλίγον ὕστερον διαδικασόμεθα ἐγώ τε καὶ σὺ [περὶ τῆς σοφίας],
δικαστῇ χρώμενοι τῷ Διονύσῳ· νῦν δὲ πρὸς τὸ δεῖπνον πρῶτα
τρέπου.

4 Μετὰ ταῦτα, ἔφη, κατακλινέντος τοῦ Σωκράτους καὶ δει- 176
πνήσαντος καὶ τῶν ἄλλων, σπονδάς τε σφᾶς ποιήσασθαι καὶ
ᾄσαντας τὸν θεὸν κατὰ τὰ νομιζόμενα τρέπεσθαι πρὸς τὸν
πότον· τὸν οὖν Παυσανίαν ἔφη λόγου τοιούτου τινὸς κατάρ-
χειν. Εἶεν, ὦνδρες, φάναι, τίνα τρόπον ῥᾷστα πιόμεθα; ἐγὼ
μὲν οὖν λέγω ὑμῖν, ὅτι τῷ ὄντι πάνυ χαλεπῶς ἔχω ὑπὸ τοῦ
χθὲς πότου καὶ δέομαι ἀναψυχῆς τινός, οἶμαι δὲ καὶ ὑμῶν
τοὺς πολλούς· παρῆστε γὰρ χθές· σκοπεῖσθε οὖν, τίνι τρόπῳ B
ἂν ὡς ῥᾷστα πίνοιμεν. τὸν οὖν Ἀριστοφάνη εἰπεῖν, Τοῦτο
μέντοι εὖ λέγεις, ὦ Παυσανία, τὸ παντὶ τρόπῳ παρασκευάζε-
σθαι ῥᾳστώνην τινὰ τῆς πόσεως· καὶ γὰρ αὐτός εἰμι τῶν χθὲς
βεβαπτισμένων. ἀκούσαντα οὖν αὐτῶν ἔφη Ἐρυξίμαχον τὸν
Ἀκουμενοῦ Ἦ καλῶς, φάναι, λέγετε. καὶ ἔτι ἑνὸς δέομαι ὑμῶν
ἀκοῦσαι, πῶς ἔχει πρὸς τὸ πίνειν Ἀγάθων. Οὐδαμῶς, φάναι,
οὐδ' αὐτὸς ἔρρωμαι. Ἕρμαιον ἂν εἴη ἡμῖν, ἦ δ' ὅς, ὡς ἔοι- C
κεν, ἐμοί τε καὶ Ἀριστοδήμῳ καὶ Φαίδρῳ καὶ τοῖσδε, εἰ ὑμεῖς

2 τιμῶμεν BV τιμῶ μέν Stallbaumius | 3 με del. Vsenerus | ἡ μὲν — ἀμφισβητήσιμος l. etym. apud Gaisfordum ad etym. m. p. 239 | 4 δ' ἂν εἴη * * C | 5 ἤ γε C | 9 ὑβριστής post Σώκρατες C | περὶ τῆς σοφίας del. G. A. Hirschigius | 12 ταῦτ' C | 14 κατὰ τὰ Astius: καὶ τἄλλα BC καὶ τἄλλα V Athen. V p. 179 D ἅπερ καὶ Πλάτων φυλάττει κατὰ τὸ συμπόσιον· μετὰ γὰρ τὸ δειπνῆσαι σπονδάς τέ φησι ποιῆσαι καὶ τὸν θεὸν παιωνίσαντας τοῖς νομιζομένοις γέρασι * *. | 16 ὦνδρες Sauppius: ἄνδρες BVC | ποίομεθα V corr. v πιώμεθα C | 21 παρασκευάσασθαι C | 23 αὐτὸν ἔφη τὸν BV | 24 Ἀκουμένου V | 25 τὸ πίνειν Cobetus apud Mehlerum ad Xenoph. conu. p. 55 nouu. lectt. p. 108 (mnemos. IV p. 304): τὸ ἐρρῶσθαι πίνειν BVC | 27 καὶ ὑμεῖς C

1 *append. prou.* II, 48 ἐκ τῆς πληρεστάτης εἰς τὴν κενωτέραν· χρὴ μεταλαγχάνειν τοὺς οὐκ ἔχοντας παρὰ τῶν ἐχόντων. Πλάτων. | 16 *schol.* ῥᾷστα· τὸ ἥδιστα ἐνταῦθα σημαίνει.

οἱ δυνατώτατοι πίνειν νῦν ἀπειρήκατε· ἡμεῖς μὲν γὰρ ἀεὶ ἀδύ-
νατοι. Σωκράτη δ' ἐξαιρῶ λόγου· ἱκανὸς γὰρ καὶ ἀμφότερα,
ὥστ' ἐξαρκέσει αὐτῷ ὁπότερ' ἂν ποιῶμεν. ἐπειδὴ οὖν μοι δο-
κεῖ οὐδεὶς τῶν παρόντων προθύμως ἔχειν πρὸς τὸ πολὺν πί-
νειν οἶνον, ἴσως ἂν ἐγὼ περὶ τοῦ μεθύσκεσθαι, οἷόν ἐστι, τἀ-
D ληθῆ λέγων ἧττον ἂν εἴην ἀηδής. ἐμοὶ γὰρ δὴ τοῦτό γε οἶμαι
κατάδηλον γεγονέναι ἐκ τῆς ἰατρικῆς, ὅτι χαλεπὸν τοῖς ἀνθρώ-
ποις ἡ μέθη ἐστί· καὶ οὔτε αὐτὸς ἑκὼν εἶναι πόρρω ἐθελή-
σαιμι ἂν πιεῖν οὔτε ἄλλῳ συμβουλεύσαιμι, ἄλλως τε καὶ κραι-
παλῶντα ἔτι ἐκ τῆς προτεραίας. Ἀλλὰ μήν, ἔφη φάναι ὑπο-
λαβόντα Φαῖδρον τὸν Μυρρινούσιον, ἔγωγέ σοι εἴωθα πείθε-
σθαι ἄλλως τε καὶ ἅττ' ἂν περὶ ἰατρικῆς λέγῃς· νῦν δ', ἂν εὖ
E βουλεύωνται, καὶ οἱ λοιποί. ταῦτα δὴ ἀκούσαντας συγχωρεῖν
πάντας μὴ διὰ μέθης ποιήσασθαι τὴν ἐν τῷ παρόντι συνου-
σίαν, ἀλλ' οὕτω πίνοντας πρὸς ἡδονήν.

Ἐπειδὴ τοίνυν, φάναι τὸν Ἐρυξίμαχον, τοῦτο μὲν δέδοκται, 5
πίνειν ὅσον ἂν ἕκαστος βούληται, ἐπάναγκες δὲ μηδὲν εἶναι, τὸ
μετὰ τοῦτο εἰσηγοῦμαι τὴν μὲν ἄρτι εἰσελθοῦσαν αὐλητρίδα
χαίρειν ἐᾶν, αὐλοῦσαν ἑαυτῇ ἢ ἂν βούληται ταῖς γυναιξὶ ταῖς
ἔνδον, ἡμᾶς δὲ διὰ λόγων ἀλλήλοις συνεῖναι τὸ τήμερον· καὶ
177 δι' οἵων λόγων, εἰ βούλεσθε, ἐθέλω ὑμῖν εἰσηγήσασθαι. φά-
ναι δὴ πάντας βούλεσθαι καὶ κελεύειν αὐτὸν εἰσηγεῖσθαι. εἰ-
πεῖν οὖν τὸν Ἐρυξίμαχον ὅτι Ἡ μέν μοι ἀρχὴ τοῦ λόγου ἐστὶ
κατὰ τὴν Εὐριπίδου Μελανίππην· οὐ γὰρ ἐμὸς ὁ μῦθος, ἀλλὰ
Φαίδρου τοῦδε, ὃν μέλλω λέγειν. Φαῖδρος γὰρ ἑκάστοτε πρός
με ἀγανακτῶν λέγει Οὐ δεινόν, φησίν, ὦ Ἐρυξίμαχε, ἄλλοις μὲν
τισι θεῶν ὕμνους καὶ παιῶνας εἶναι ὑπὸ τῶν ποιητῶν πεποιη-
μένους, τῷ δὲ Ἔρωτι, τηλικούτῳ ὄντι καὶ τοσούτῳ θεῷ, μηδὲ

1 *αἰεὶ* V | 2 *ἐξαίρω* V | *καὶ* om. C | 6 *ἀηλής* BV corr. bv | 8 *οὔτ'* C | *ἐθελήσαιμ'* C | 9 *οὔτ'* C | *κραιπαλοῦντα* BV *κραιπαλῶντ'* C | 11 *φαίδρων* BV | 12 *σε* C corr. c | *ἂν εὖ βουλεύωνται* C Bastius krit. uers. p. 13: *αὖ εὖ βούλωνται* BV *αὖ βούλονται* ς *αὖ βούλοιντ' ἂν* Thierschius spec. p. 5 | 13 *λιποί* V | *δὴ καὶ* C | *ἀκούσοντας* V | 19 *ηάν* B *ἐάν* C | 21 *βουλεσθετ'* V eraso *τ'* | 22 *πάντας βούλεσθαι* C. F. Hermannus: *πάντας καὶ βούλεσθαι* BVC | *καὶ* om. V | 26 *οὐ δυνόν* in rasura V | 27 *παίονας* BC *παιᾶνας* b | *πεποιημένα τῷ δ'* C | 28 *μηδ' ἕνα* V *μηδένα* C

9 *Tim.* *κραιπαλῶντα·* *ἔτι ἀπὸ τῆς μέθης βαρυνόμενον.* | 11 *schol.* *Μυρρινοῦς δῆμος Αἰγηίδος, ἀφ' ἧς ὁ Φαῖδρος.* | 24 *Euripides Melanipp. fr. 488* *κοὐκ ἐμὸς ὁ μῦθος, ἀλλ' ἐμῆς μητρὸς πάρα.* *Aristid. 55 t. II p. 33* *καὶ μὴν 'οὐκ ἐμὸς ὁ μῦθος' ἔφη ὁ Πλάτων, τὸ τοῦ Εὐριπίδου προσπαίζων.*



ἕνα πώποτε τοσούτων γεγονότων ποιητῶν πεποιηκέναι μηδὲν B
ἐγκώμιον· εἰ δὲ βούλει αὖ σκέψασθαι τοὺς χρηστοὺς σοφιστάς,
Ἡρακλέους μὲν καὶ ἄλλων ἐπαίνους καταλογάδην ξυγγράφειν,
ὥσπερ ὁ βέλτιστος Πρόδικος· καὶ τοῦτο μὲν ἧττον καὶ θαυ-
μαστόν, ἀλλ' ἔγωγε ἤδη τινὶ ἐνέτυχον βιβλίῳ, ἐν ᾧ ἐνῆσαν ἅλες
ἔπαινον θαυμάσιον ἔχοντες πρὸς ὠφέλειαν, καὶ ἄλλα τοιαῦτα C
συχνὰ ἴδοις ἂν ἐγκεκωμιασμένα· τὸ οὖν τοιούτων μὲν πέρι
πολλὴν σπουδὴν ποιήσασθαι, Ἔρωτα δὲ μηδένα πω ἀνθρώπων
τετολμηκέναι εἰς ταυτηνὶ τὴν ἡμέραν ἀξίως ὑμνῆσαι, ἀλλ' οὕ-
τως ἠμέληται τοσοῦτος θεός; ταῦτα δή μοι δοκεῖ εὖ λέγειν
Φαῖδρος. ἐγὼ οὖν ἐπιθυμῶ ἅμα μὲν τούτῳ ἔρανον εἰσενεγκεῖν
καὶ χαρίσασθαι, ἅμα δ' ἐν τῷ παρόντι πρέπον μοι δοκεῖ εἶναι
ἡμῖν τοῖς παροῦσι κοσμῆσαι τὸν θεόν. εἰ οὖν ξυνδοκεῖ καὶ D
ὑμῖν, γένοιτ' ἂν ἡμῖν ἐν λόγοις ἱκανὴ διατριβή· δοκεῖ γάρ μοι
χρῆναι ἕκαστον ἡμῶν λόγον εἰπεῖν ἔπαινον Ἔρωτος ἐπὶ δεξιὰ
ὡς ἂν δύνηται κάλλιστον, ἄρχειν δὲ Φαῖδρον πρῶτον, ἐπειδὴ
καὶ πρῶτος κατάκειται καί ἐστιν ἅμα πατὴρ τοῦ λόγου. Οὐ-
δείς σοι, ὦ Ἐρυξίμαχε, φάναι τὸν Σωκράτη, ἐναντία ψηφιεῖται.
οὔτε γὰρ ἄν που ἐγὼ ἀποφήσαιμι, ὃς οὐδέν φημι ἄλλο ἐπί-
στασθαι ἢ τὰ ἐρωτικά, οὔτε που Ἀγάθων καὶ Παυσανίας, οὐδὲ E
μὴν Ἀριστοφάνης, ᾧ περὶ Διόνυσον καὶ Ἀφροδίτην πᾶσα ἡ
διατριβή, οὐδὲ ἄλλος οὐδεὶς τουτωνὶ ὧν ἐγὼ ὁρῶ. καίτοι οὐκ
ἐξ ἴσου γίγνεται ἡμῖν τοῖς ὑστάτοις κατακειμένοις· ἀλλ' ἐὰν οἱ

1 *μηδὲ ἐγκώμιον* Valckenarius diatr. in Eurip. p. 157 | 3 *συγγράφειν* V | 4 *Πρόδικος, τοῦτο μὲν καὶ ἧττον θαυμαστόν* Thierschius spec. p. 6 | 5 *βιβλίῳ ἀνδρὸς σοφοῦ* C | 7 *πέρι πολλοὺς πολλὴν* R. B. Hirschigius misc. phil. III p. 76 | 9 *ἀξιῶ* BV *ἀξίως* b | *ὅτι οὕτως* Wyttenbachius bibl. crit. III, 12 p. 10 | 10 *ἠμελῆσθαι τοσοῦτον θεόν* Stephanus | 15 *περὶ Ἔρωτος* R. B. Hirschigius misc. phil. III p. 83 | *ἐπιδέξια* VC | 16 *κάλλιστον, λέγειν δὲ* R. B. Hirschigius | 20 *πω* C | 21 *ἡ* om. C | 22 *οὐδ'* C

17 *Plutarch. quaestt. Platon. II, 1 p. 1000 F* *ἢ τῇ μεταφορᾷ χρώμενος, ὥσπερ εἴωθε, τὸν αἴτιον πατέρα τοῦ κόσμου κέκληκεν; ὡς τῶν ἐρωτικῶν λόγων πατέρα Φαῖδρον ἐν συμποσίῳ προσεῖπεν, εἰσηγητὴν αὐτῶν γενόμενον.* | 19 *Themist. 13 p. 161 D* *φησὶ γοῦν ἐν τοῖς Ἀγάθωνος ἐπινικίοις μετὰ τὸν πότον αὐτός τε ἀγαγόμενος εἰς τὸν ἔπαινον τοῦ Ἔρωτος καὶ τοὺς συμπότας παρασκευάζων οὑτωσὶ ἀπαρακαλύπτως καὶ ἐκφανῶς 'οὐδὲν ἄλλο φημὶ ἐπίστασθαι ἢ τὰ ἐρωτικά'.* *Maxim. Tyr. 24, 4* *καὶ τὰ μὲν ἄλλα ἅπαντα ἀποποιεῖται εἰδέναι, καὶ τοὺς περὶ ἀρετῆς λόγους καὶ τὰς περὶ θεῶν δόξας καὶ τὰ ἄλλα ἅπαντα, ἐφ' οἷς οἱ σοφισταὶ ἐκόμων, τὴν δὲ ἐρωτικὴν τέχνην ὑποδύς, ταύτης καὶ ἐπιστήμων εἶναι καὶ πραγματεύεσθαι περὶ αὐτὴν ἔλεγε.*

πρόσθεν ἱκανῶς καὶ καλῶς εἴπωσιν, ἐξαρκέσει ἡμῖν. ἀλλὰ
τύχῃ ἀγαθῇ καταρχέτω Φαῖδρος καὶ ἐγκωμιαζέτω τὸν Ἔρωτα.
Ταῦτα δὴ καὶ οἱ ἄλλοι πάντες ἄρα ξυνέφασάν τε καὶ ἐκέ-
178 λευον ἅπερ ὁ Σωκράτης. πάντων μὲν οὖν ἃ ἕκαστος εἶπεν,
οὔτε πάνυ ὁ Ἀριστόδημος ἐμέμνητο οὔτ' αὖ ἐγὼ ἃ ἐκεῖνος ἔλεγε
πάντα· ἃ δὲ μάλιστα καὶ ὧν ἔδοξέ μοι ἀξιομνημόνευτον, τού-
των ὑμῖν ἐρῶ ἑκάστου τὸν λόγον.
Πρῶτον μὲν γάρ, ὥσπερ λέγω, ἔφη Φαῖδρον ἀρξάμενον 6
ἐνθένδε ποθὲν λέγειν, ὅτι μέγας θεὸς εἴη ὁ Ἔρως καὶ θαυμα-
B στὸς ἐν ἀνθρώποις τε καὶ θεοῖς, πολλαχῇ μὲν καὶ ἄλλῃ, οὐχ
ἥκιστα δὲ κατὰ τὴν γένεσιν. τὸ γὰρ ἐν τοῖς πρεσβύτατον εἶναι
τῶν θεῶν τίμιον, ἦ δ' ὅς. τεκμήριον δὲ τούτου· γονῆς γὰρ
Ἔρωτος οὔτ' εἰσὶν οὔτε λέγονται ὑπ' οὐδενὸς οὔτε ἰδιώτου
οὔτε ποιητοῦ, ἀλλ' Ἡσίοδος πρῶτον μὲν χάος φησὶ γενέσθαι,

αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεί,
ἠδ' Ἔρος,

3 ταὐτά Vsenerus | ἅμα Wyttenbachius bibl. crit. I, 1 p. 49 | 6 ἀξιομνημονεύτων b | ἀξιομνημόνευτον εἶναι C | 7 ἑκάστου ἐμόν που τὸν C | 8 ἔφη — p. 11, 6 αἴτιός ἐστιν l. Ioa. Stob. ecl. phys. I, 9, 12 | 9 οὗτος ὁ Ἔρως C | 10 ἄλλοι Ioa. Stob. | 11 πρεσβυτάτοις C | 12 τίμιον ὄνειδος Creuzerus ad Plotin. de pulchr. p. 521 ἦ δ' ὅς del. idem zur gesch. d. griech. u. roem. litt. p. 127 quasi natum ex adscripto ἡσίοδος | 13 λέγεται C | 15 αὐτὰρ — Ἔρος om. Ioa. Stob. | 16 Γαῖ' — Ἔρος del. C. F. Hermannus | 17 ἠδ' ἀέρος C

15 *Aristotel. metaph. A, 4 p. 984* ὑποπτεύσειε δ' ἄν τις Ἡσίοδον πρῶτον ζητῆσαι τὸ τοιοῦτον, κἂν εἴ τις ἄλλος ἔρωτα ἢ ἐπιθυμίαν ἐν τοῖς οὖσιν ἔθηκεν ὡς ἀρχήν, οἷον καὶ Παρμενίδης· καὶ γὰρ οὗτος κατασκευάζων τὴν τοῦ παντὸς γένεσιν 'πρώτιστον μέν' φησίν 'Ἔρωτα θεῶν μητίσατο πάντων', Ἡσίοδος δὲ 'πάντων μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα Γαῖ' εὐρύστερνος, ἠδ' Ἔρος, ὃς πάντεσσι μεταπρέπει ἀθανάτοισιν', ὡς δέον ἐν τοῖς οὖσιν ὑπάρχειν τιν' αἰτίαν ἥτις κινήσει καὶ συνάξει τὰ πράγματα. *Plutarch. erot. 13 p. 756 F* διὸ Παρμενίδης μὲν ἀποφαίνει τὸν Ἔρωτα τῶν Ἀφροδίτης [ἔργων] πρεσβύτατον, ἐν τῇ κοσμογονίᾳ γράφων, 'πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων'. Ἡσίοδος δὲ φυσικώτερον ἐμοὶ δοκεῖ ποιεῖν Ἔρωτα πάντων προγενέστατον, ἵνα πάντα δι' ἐκεῖνον μετάσχῃ γενέσεως. | 15 *Hesiodus theog. 116*

ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,
Τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης,
ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι.



[φησὶ μετὰ τὸ χάος δύο τούτω γενέσθαι, Γῆν τε καὶ Ἔρωτα.]
Παρμενίδης δὲ [τὴν Γένεσιν λέγει]

πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων. C

Ἡσιόδῳ δὲ καὶ Ἀκουσίλεως ὁμολογεῖ. οὕτω πολλαχόθεν ὁμο-
λογεῖται ὁ Ἔρως ἐν τοῖς πρεσβύτατος εἶναι. πρεσβύτατος δὲ
ὢν μεγίστων ἀγαθῶν ἡμῖν αἴτιός ἐστιν. οὐ γὰρ ἔγωγ' ἔχω εἰ-
πεῖν ὅ τι μεῖζόν ἐστιν ἀγαθὸν εὐθὺς νέῳ ὄντι ἢ ἐραστὴς χρη-
στὸς καὶ ἐραστῇ ἢ παιδικά. ὃ γὰρ χρὴ ἀνθρώποις ἡγεῖσθαι
παντὸς τοῦ βίου τοῖς μέλλουσι καλῶς βιώσεσθαι, τοῦτο οὔτε
συγγένεια οἵα τε ἐμποιεῖν οὕτω καλῶς οὔτε τιμαὶ οὔτε πλοῦ-
τος οὔτ' ἄλλο οὐδὲν ὡς ἔρως. λέγω δὲ δὴ τί τοῦτο; τὴν ἐπὶ D
μὲν τοῖς αἰσχροῖς αἰσχύνην, ἐπὶ δὲ τοῖς καλοῖς φιλοτιμίαν· οὐ
γὰρ ἔστιν ἄνευ τούτων οὔτε πόλιν οὔτε ἰδιώτην μεγάλα καὶ
καλὰ ἔργα ἐξεργάζεσθαι. φημὶ τοίνυν ἐγὼ ἄνδρα ὅστις ἐρᾷ, εἴ
τι αἰσχρὸν ποιῶν κατάδηλος γίγνοιτο ἢ πάσχων ὑπό του δι'
ἀνανδρίαν μὴ ἀμυνόμενος, οὔτ' ἂν ὑπὸ πατρὸς ὀφθέντα οὕτως
ἀλγῆσαι οὔτε ὑπὸ ἑταίρων οὔτε ὑπ' ἄλλου οὐδενὸς ὡς ὑπὸ παι- E
δικῶν. ταὐτὸν δὲ τοῦτο καὶ τὸν ἐρώμενον ὁρῶμεν, ὅτι διαφε-
ρόντως τοὺς ἐραστὰς αἰσχύνεται, ὅταν ὀφθῇ ἐν αἰσχρῷ τινὶ
ὤν. εἰ οὖν μηχανή τις γένοιτο ὥστε πόλιν γενέσθαι [ἢ στρα-

1 φησὶ — Ἔρωτα del. Hommelius | 2 Παρμενίδης — πάντων om. Ioa. Stob. Heynius abh. d. akad. d. inschr. I p. 377. Wunderus philolog. VI p. 692 | Παρμενείδης BV | 4 Ἀκουσίλεως σύμφησιν ἐν τοῖς πρεσβυτάτοις εἶναι, πρεσβυτατός τε ὢν Ioa Stob. | οὕτως πανταχόθεν C | 5 πρεσβυτάτοις C | εἶναι, πρὸς δὲ τούτῳ τῶν μεγίστων Bastius krit. uers. p. 17 | 6 μέγιστος C | 8 ἢ om. BVC add. Hommelius R. B. Hirschigius zeitschr. f. d. alterth. wiss. 1851 p. 326 | 10 συγκένεια V εὐγένεια Wyttenbachius ep. crit. p. 9 | οὔτε κάλλος ς οὕτω οὔτε κάλλος Reyndersius Iacobsius | 17 οὐθ' — οὐθ' C | 19 τὸν ἐραστὴν R. B. Hirschigius zeitschr. f. d. alterth. wiss. 1851 p. 326

4 *Damascius de princ. 124 p. 383* Ἀκουσίλαος δὲ χάος μὲν ὑποτίθεσθαί μοι δοκεῖ τὴν πρώτην ἀρχήν, ὡς πάντῃ ἄγνωστον, τὰς δὲ δύο μετὰ τὴν μίαν, Ἔρεβος μὲν τὴν ἄρρενα, τὴν δὲ θήλειαν Νύκτα, ταύτην μὲν ἀντὶ ἀπειρίας, ἐκείνην δὲ ἀντὶ πέρατος. ἐκ δὲ τούτων φησὶ μιχθέντων Αἰθέρα γενέσθαι καὶ Ἔρωτα καὶ Μῆτιν, τὰς τρεῖς ταύτας νοητὰς ὑποστάσεις, τὴν μὲν ἄκραν Αἰθέρα ποιῶν, τὴν δὲ μέσην Ἔρωτα κατὰ τὴν φυσικὴν μεσότητα τοῦ ἔρωτος, τὴν δὲ τρίτην Μῆτιν κατ' αὐτὸν ἤδη τὸν πολυτίμητον νοῦν. παράγει δὲ ἐπὶ τούτοις ἐκ τῶν αὐτῶν καὶ ἄλλων θεῶν πολὺν ἀριθμὸν κατὰ τὴν Εὐδήμου ἱστορίαν. | 20 *Xenoph. conu. 8, 32* καίτοι Παυσανίας γ', ὁ Ἀγάθωνος τοῦ ποιητοῦ ἐραστής, ἀπολογούμενος ὑπὲρ τῶν ἀκρασίᾳ ἐγκαλινδουμένων εἴρηκεν, ὡς καὶ στράτευμα ἀλκιμώτατον ἂν γένοιτο ἐκ

τόπεδον] ἐραστῶν τε καὶ παιδικῶν, οὐκ ἔστιν ὅπως ἂν ἄμει-
νον οἰκήσειαν τὴν ἑαυτῶν ἀπεχόμενοι πάντων τῶν αἰσχρῶν καὶ
179 φιλοτιμούμενοι πρὸς ἀλλήλους. καὶ μαχόμενοί γ' ἂν μετ' ἀλ-
λήλων οἱ τοιοῦτοι νικῷεν ἂν ὀλίγοι ὄντες, ὡς ἔπος εἰπεῖν,
πάντας ἀνθρώπους. ἐρῶν γὰρ ἀνὴρ ὑπὸ παιδικῶν ὀφθῆναι ἢ
λιπὼν τάξιν ἢ ὅπλα ἀποβαλὼν ἧττον ἂν δή που δέξαιτο ἢ
ὑπὸ πάντων τῶν ἄλλων, καὶ πρὸ τούτου τεθνάναι ἂν πολλάκις
ἕλοιτο· καὶ μὴν ἐγκαταλιπεῖν γε τὰ παιδικὰ ἢ μὴ βοηθῆσαι
κινδυνεύοντι, οὐδεὶς οὕτω κακός, ὅντινα οὐκ ἂν αὐτὸς ὁ Ἔρως
B ἔνθεον ποιήσειε πρὸς ἀρετήν, ὥσθ' ὅμοιον εἶναι τῷ ἀρίστῳ
φύσει· καὶ ἀτεχνῶς, ὃ ἔφη Ὅμηρος, μένος ἐμπνεῦσαι ἐνίοις
τῶν ἡρώων τὸν θεόν, τοῦτο ὁ Ἔρως τοῖς ἐρῶσι παρέχει γιγνό-
μενον παρ' αὐτοῦ. καὶ μὴν ὑπεραποθνήσκειν γε μόνοι ἐθέ- 7
λουσιν οἱ ἐρῶντες, οὐχ' ὅτι ἄνδρες, ἀλλὰ καὶ αἱ γυναῖκες. τού-
του δὲ καὶ ἡ Πελίου θυγάτηρ Ἄλκηστις ἱκανὴν μαρτυρίαν πα-

1 ἐξ ἐραστῶν R. B. Hirschigius | 2 ἑαυτῶν πόλιν R. B. Hirschigius | ἑαυτῶν ἀπεχόμενοι Rueckertus: ἑαυτῶν ἢ ἀπεχόμενοι BVC | 3 ἐπὶ τοῖς καλοῖς φιλοτιμούμενοι Astius | 7 καὶ del. et πρὸ — ἕλοιτο post κινδυνεύοντι ponit Heusdius init. philos. Plat. I p. 109 | 9 κακιος corr. κακὸς V | ὅντιν' C | 10 ὥστε BV | 12 ἡρώων B | ἐρῶσι παρέχει in rasura V, uidetur fuisse ἐρωτῶσι | ἐρῶσι πᾶσι Orellius ad Isocr. de perm. p. 325 | 13 αὐτοῦ V | 14 οὐχ' ὅτι Vsenerus: οὐ μόνον ὅτι BVC οὐ μόνον οἱ Stephanus

παιδικῶν τε καὶ ἐραστῶν. τούτους γὰρ ἂν ἔφη οἴεσθαι μάλιστα αἰδεῖσθαι ἀλλήλους ἀπολείπειν, θαυμαστὰ λέγων, εἴ γ' οἱ ψόγου τ' ἀφροντιστεῖν καὶ ἀναισχυντεῖν πρὸς ἀλλήλους ἐθιζόμενοι οὗτοι μάλιστ' αἰσχύνονται αἰσχρόν τι ποιεῖν. | 11 *Homer. Il. K, 432* ὣς φάτο. τῷ δ' ἔμπνευσε μένος γλαυκῶπις Ἀθήνη. *O, 482* ὡς εἰπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν. | 15 *schol.* ἡ περὶ τῆς Ἀλκήστιδος ὑπόθεσις τοιαύτη τίς ἐστιν ⟨Δικαιάρχου add. Euripidis codd.⟩. Ἀπόλλων ᾐτήσατο παρὰ τῶν Μοιρῶν, ὅπως ὁ Ἄδμητος τελευτᾶν μέλλων παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνον ζήσῃ. καὶ δὴ Ἄλκηστις ἡ γυνὴ τοῦ Ἀδμήτου ἐπέδωκεν ἑαυτήν, οὐδετέρου τῶν γονέων θελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ' οὐ πολὺ δὲ ταύτης τῆς συμφορᾶς γενομένης Ἡρακλῆς παραγενόμενος καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν, ἐπορεύθη ἐπὶ τὸν τάφον, καὶ τὸν Θάνατον ἀποστῆναι ποιήσας ἐσθῆτι καλύπτει τὴν γυναῖκα, τὸν δὲ Ἄδμητον ἠξίου λαβόντα αὐτὴν τηρεῖν· εἰληφέναι γὰρ αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου ἔδειξεν ἣν ἐπένθει. Ἄλλως· ⟨Ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις Euripidis codd.⟩ Ἄλκηστις ἡ Πελίου θυγάτηρ, ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι, Ἡρακλέους ἐπιδημήσαντος ἐν τῇ Θετταλίᾳ διασώ-



ρέχεται ὑπὲρ τοῦδε τοῦ λόγου εἰς τοὺς Ἕλληνας, ἐθελήσασα
μόνη ὑπὲρ τοῦ αὐτῆς ἀνδρὸς ἀποθανεῖν, ὄντων αὐτῷ πατρός
τε καὶ μητρός· οὓς ἐκείνη τοσοῦτον ὑπερεβάλετο τῇ φιλίᾳ διὰ C
τὸν ἔρωτα, ὥστε ἀποδεῖξαι αὐτοὺς ἀλλοτρίους ὄντας τῷ υἱεῖ
καὶ ὀνόματι μόνον προσήκοντας. καὶ τοῦτ' ἐργασαμένη τὸ ἔρ-
γον οὕτω καλὸν ἔδοξεν ἐργάσασθαι οὐ μόνον ἀνθρώποις ἀλλὰ
καὶ θεοῖς, ὥστε πολλῶν πολλὰ καὶ καλὰ ἐργασαμένων εὐαρι-
θμήτοις δή τισιν ἔδοσαν τοῦτο γέρας οἱ θεοί, ἐξ Ἅιδου ἀνεῖ-
ναι πάλιν τὴν ψυχήν, ἀλλὰ τὴν ἐκείνης ἀνεῖσαν ἀγασθέντες τῷ
ἔργῳ. οὕτω καὶ θεοὶ τὴν περὶ τὸν ἔρωτα σπουδήν τε καὶ ἀρε- D
τὴν μάλιστα τιμῶσιν. Ὀρφέα δὲ τὸν Οἰάγρου ἀτελῆ ἀπέπεμ-
ψαν ἐξ Ἅιδου, φάσμα δείξαντες τῆς γυναικὸς ἐφ' ἣν ἧκεν, αὐ-
τὴν δὲ οὐ δόντες, ὅτι μαλθακίζεσθαι ἐδόκει, ἅτε ὢν κιθαρῳ-
δός, καὶ οὐ τολμᾶν ἕνεκα τοῦ ἔρωτος ἀποθνήσκειν ὥσπερ Ἄλ-
κηστις, ἀλλὰ διαμηχανᾶσθαι ζῶν εἰσιέναι εἰς Ἅιδου. τοιγάρτοι
διὰ ταῦτα δίκην αὐτῷ ἐπέθεσαν καὶ ἐποίησαν τὸν θάνατον αὐ-
τοῦ ὑπὸ γυναικῶν γενέσθαι, οὐχ ὥσπερ Ἀχιλλέα τὸν τῆς Θέ- E
τιδος υἱὸν ἐτίμησαν καὶ εἰς μακάρων νήσους ἀπέπεμψαν, ὅτι
πεπυσμένος παρὰ τῆς μητρὸς ὡς ἀποθάνοι ἀποκτείνας Ἕκτορα,
μὴ ἀποκτείνας δὲ τοῦτον οἴκαδ' ἐλθὼν γηραιὸς τελευτήσοι, ἐτόλ-
μησεν ἑλέσθαι βοηθήσας τῷ ἐραστῇ Πατρόκλῳ καὶ τιμωρήσας
οὐ μόνον ὑπεραποθανεῖν ἀλλὰ καὶ ἐπαποθανεῖν τετελευτηκότι· 180
ὅθεν δὴ καὶ ὑπεραγασθέντες οἱ θεοὶ διαφερόντως αὐτὸν ἐτί-
μησαν, ὅτι τὸν ἐραστὴν οὕτω περὶ πολλοῦ ἐποιεῖτο. Αἰσχύλος
δὲ φλυαρεῖ φάσκων Ἀχιλλέα Πατρόκλου ἐρᾶν, ὃς ἦν καλλίων

1 ὑπὲρ τοῦδε τοῦ λόγου del. Wolfius, post εἰς τοὺς Ἕλληνας ponit Bastius krit. uers. p. 106, ὑπὲρ τοῦδε del. et τοῦ λόγου post τούτου δὲ posuit Stephanus, ὑπὲρ τοῦδε del. Wyttenbachius sel. princ. hist. p. 360 Winckelmannus praef. Plat. dial. spur. p. XI | 2 τοῦ ἀνδρὸς αὐτῆς C | 4 ὥστ' C | 7 πολλῶν καὶ πολλὰ V | 8 ἔδοξαν V | δὴ τοῦτο C | 12 φάντασμα C | 20 μὴ ποιήσας C | οἴκαδε δ' V | 22 καὶ ἀποθανεῖν C | 23 καὶ om. C | 24 ἐποίησε V | Αἰσχύλος — Ὅμηρος del. Valckenarius diatr. p. 13. Callimachi eleg. p. 218

ζεται, βιασαμένου τοὺς χθονίους θεοὺς καὶ ἀφελομένου τὴν γυναῖκα. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία. | 24 *Athen. XI p. 601 A* Αἰσχύλος μέγας ὢν ποιητὴς καὶ Σοφοκλῆς ἦγον εἰς τὰ θέατρα διὰ τῶν τραγῳδιῶν τοὺς ἔρωτας, ὁ μὲν τὸν Ἀχιλλέως πρὸς Πάτροκλον, ὁ δ' ἐν τῇ Νιόβῃ τὸν τῶν παίδων. *Xenoph. conu. 8, 31* καὶ Ἀχιλλεὺς Ὁμήρῳ πεποίηται οὐχ ὡς παιδικοῖς Πατρόκλῳ, ἀλλ' ὡς ἑταίρῳ ἀποθανόντι ἐκπρεπέστατα τιμωρήσας. | 25 *Homer. Il. B, 673* Νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλείωνα.

οὐ μόνον Πατρόκλου ἀλλὰ καὶ τῶν ἡρώων ἁπάντων, καὶ ἔτι ἀγένειος, ἔπειτα νεώτερος πολύ, ὥς φησιν Ὅμηρος. ἀλλὰ γὰρ τῷ ὄντι μάλιστα μὲν ταύτην τὴν ἀρετὴν οἱ θεοὶ τιμῶσι τὴν B περὶ τὸν ἔρωτα, μᾶλλον μέντοι θαυμάζουσι καὶ ἄγανται καὶ εὖ ποιοῦσιν, ὅταν ὁ ἐρώμενος τὸν ἐραστὴν ἀγαπᾷ, ἢ ὅταν ὁ ἐραστὴς τὰ παιδικά. θειότερον γὰρ ἐραστὴς παιδικῶν· ἔνθεος γάρ ἐστι. διὰ ταῦτα καὶ τὸν Ἀχιλλέα τῆς Ἀλκήστιδος μᾶλλον ἐτίμησαν, εἰς μακάρων νήσους ἀποπέμψαντες. οὕτω δὴ ἔγωγέ φημι Ἔρωτα θεῶν καὶ πρεσβύτατον καὶ τιμιώτατον καὶ κυριώτατον εἶναι εἰς ἀρετῆς καὶ εὐδαιμονίας κτῆσιν ἀνθρώποις καὶ C ζῶσι καὶ τελευτήσασιν.

8 Φαῖδρον μὲν τοιοῦτόν τινα λόγον ἔφη εἰπεῖν, μετὰ δὲ Φαῖδρον ἄλλους τινὰς εἶναι, ὧν οὐ πάνυ διεμνημόνευεν· οὓς παρεὶς τὸν Παυσανίου λόγον διηγεῖτο. εἰπεῖν δ' αὐτὸν ὅτι Οὐ καλῶς μοι δοκεῖ, ὦ Φαῖδρε, προβεβλῆσθαι ἡμῖν ὁ λόγος, τὸ ἁπλῶς οὕτως παρηγγέλθαι ἐγκωμιάζειν Ἔρωτα. εἰ μὲν γὰρ εἷς ἦν ὁ Ἔρως, καλῶς ἂν εἶχε· νῦν δὲ — οὐ γάρ ἐστιν εἷς· μὴ D ὄντος δὲ ἑνὸς ὀρθότερόν ἐστι πρότερον προρρηθῆναι ὁποῖον δεῖ ἐπαινεῖν. ἐγὼ οὖν πειράσομαι τοῦτο ἐπανορθώσασθαι, πρῶτον μὲν Ἔρωτα φράσαι ὃν δεῖ ἐπαινεῖν, ἔπειτα ἐπαινέσαι ἀξίως τοῦ θεοῦ. πάντες γὰρ ἴσμεν ὅτι οὐκ ἔστιν ἄνευ Ἔρωτος Ἀφροδίτη. μιᾶς μὲν οὖν οὔσης εἷς ἂν ἦν Ἔρως· ἐπεὶ δὲ δὴ δύο ἐστόν, δύο ἀνάγκη καὶ Ἔρωτε εἶναι. πῶς δ' οὐ δύο τὼ θεώ; ἡ μέν γέ που πρεσβυτέρα καὶ ἀμήτωρ Οὐρανοῦ θυ-

1 ἀλλ' ἄρα καὶ C | ἡρώιων B | 5 ἐρώτῶμενος V | 7 τῆς Ἀλκήστιδος del. aut τὸν τῆς Θέτιδος scr. Schuetzius opp. p. 119 | 9 θεῶν πρεσβύτατον C | κυριώτερον C | 10 εἶναι om. C | ἀρετήν V corr. v | 11 τετελευτήκασι V τελευτήσασι C | 13 διεμνημόνευε V | 18 ὁπότερον Hermannus | 21 πάντες — p. 15, 4 οὐράνιον l. Ioa. Stob. ecl. phys. I, 9, 13 | ἄνευ Ἔρως Ἀφροδίτης. Ἀφροδίτης δὲ μιᾶς Graserus spec. aduers. p. 27 | 22 ἧς μιᾶς Rueckertus | οὖν om. C | 24 θεώ Cobetus nouu. lectt. p. 27 (mnemos. IV p 123): θεά BVC Ioa. Stob. | μὲν γάρ C

2 *Homer. Il. Λ, 786* τέκνον ἐμόν, γενεῇ μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεύς, πρεσβύτερος δὲ σύ ἐσσι. | 7 *Plutarch. Pelopid. 18* εἰκὸς οὖν καὶ τὸν λόχον ἱερὸν προσαγορεύεσθαι, καθότι καὶ Π λ ά τ ω ν ἔνθεον φίλον τὸν ἐραστὴν προσεῖπεν. | 22 *Xenophon conuiu. 8, 9* εἰ μὲν οὖν μί' ἐστὶν Ἀφροδίτη ἢ διτταὶ οὐκ οἶδα — καὶ γὰρ Ζεὺς ὁ αὐτὸς δοκῶν εἶναι πολλὰς ἐπωνυμίας ἔχει —, ὅτι γε μέντοι χωρὶς ἑκατέρᾳ βωμοί τε καὶ ναοί εἰσι καὶ θυσίαι, τῇ μὲν πανδήμῳ ῥᾳδιουργότεραι, τῇ δ' οὐρανίᾳ ἁγνότεραι, οἶδα. εἰκάσειας δ' ἂν καὶ τοὺς ἔρωτας τὴν μὲν πάνδημον τῶν σωμάτων ἐπιπέμπειν, τὴν δ' οὐρανίαν τῆς ψυχῆς τε καὶ τῆς φιλίας καὶ τῶν καλῶν ἔργων. | 24 *Apulei. apol. 12* mitto enim dicere alta



γάτηρ, ἣν δὴ καὶ οὐρανίαν ἐπονομάζομεν· ἡ δὲ νεωτέρα Διὸς καὶ Διώνης, ἣν δὴ πάνδημον καλοῦμεν. ἀναγκαῖον δὴ καὶ E Ἔρωτα τὸν μὲν τῇ ἑτέρᾳ συνεργὸν πάνδημον ὀρθῶς καλεῖσθαι, τὸν δὲ οὐράνιον. ἐπαινεῖν μὲν οὖν δεῖ πάντας θεούς, ἃ δ' οὖν ἑκάτερος εἴληχε πειρατέον εἰπεῖν. πᾶσα γὰρ πρᾶξις ὧδ' ἔχει· αὐτὴ ἐφ' ἑαυτῆς οὔτε καλὴ οὔτε αἰσχρά. οἷον ὃ νῦν ἡμεῖς 181 ποιοῦμεν, ἢ πίνειν ἢ ᾄδειν ἢ διαλέγεσθαι, οὐκ ἔστι τούτων αὐτὸ καλὸν οὐδέν, ἀλλ' ἐν τῇ πράξει, ὡς ἂν πραχθῇ, τοιοῦτο ἀπέβη· καλῶς μὲν γὰρ πραττόμενον καὶ ὀρθῶς καλὸν γίγνεται, μὴ ὀρθῶς δὲ αἰσχρόν. οὕτω δὴ καὶ τὸ ἐρᾶν, καὶ ὁ Ἔρως οὐ πᾶς ἐστὶ καλὸς οὐδὲ ἄξιος ἐγκωμιάζεσθαι, ἀλλ' ὁ καλῶς προ-

2 διόνης BV | 4 τὸν δ' C | οὖν οὐ δεῖ πάντα· ἃ δ' οὖν Bastius krit. uers. p. 24 | ἐπαινεῖν — θεούς del. Orellius ad Isocr. de permut. p. 326 | 5 πᾶσα — p. 16, 1 ἐρᾶν l. Gellius XVII, 20, 3. Ioa. Stob. flor. V. 130 πᾶσα — αἰσχρά l. Proclus in Alcib. I p. 215 | 6 ἐφ' ἑαυτῆς οὔτε Proclus Stephanus: ἐφ' ἑαυτῆς πραττομένη οὔτε BVC Gellius Ioa. Stob. | οὔτ' αἰσχρά C | 8 αὐτὸ καθ' αὑτὸ καλὸν C Gellius | 10 οὕτω δὲ Gellius | ἔραος V | 11 ἀλλὰ BV | καλὸς V

illa et diuina Platonica, rarissimo cuique piorum ⟨*l.* philosophorum⟩ ignara, ceterum omnibus profanis incognita: geminam esse Venerem deam, proprio quamque amore et diuersis amatoribus pollentes. earum alteram uulgariam, quae sit percita populari amore, non modo humanis animis, uerum etiam pecuinis et ferinis ad libidinem imperitare, ut immodico trucique perculsorum animalium serua corpora complexu uincientem: alteram uero caelitem Venerem, praedita quae sit optimatium amore, solis hominibus et eorum paucis curare, nullis ad turpitudinem stimulis uel illecebris sectatores suos percellentem ⟨*l.* pellicientem⟩. quippe amorem eius non amoenum et lasciuum, sed contra incomitum et serium pulchritudine honestatis uirtutes amatoribus suis conciliare, et si quando decora corpora commendet, a contumacia eorum procul absterrere. neque enim quicquam aliud in corporum forma diligendum, quam quod commoneat diuinos animos eius pulchritudinis, quam prius ueram et sinceram inter deos uidere. | 5 *Gellius XVII, 20* s y m p o s i u m P l a t o n i s apud philosophum Taurum legebatur. uerba illa P a u s a n i a e inter conuiuas Amorem uice sua laudantis, ea uerba ita rursum amauimus, ut meminisse etiam studuerimus. sunt adeo quae meminimus uerba haec: πᾶσα γὰρ — ἐρᾶν. haec uerba ubi lecta sunt atque ibi Taurus 'heus', inquit 'tu, rhetorisce', — sic enim me in principio recens in diatribam acceptum appellitabat, existimans eloquentiae unius extundendae gratia Athenas uenisse — 'uidesne' inquit 'enthymema crebrum et coruscum et conuexum breuibusque et rotundis numeris cum quadam aequabili circumactione deuinctum? habesne nobis dicere in libris rhetorum uestrorum tam apte tamque

τρέπων ἐρᾶν. ὁ μὲν οὖν τῆς πανδήμου Ἀφροδίτης ὡς ἀληθῶς 9
B πάνδημός ἐστι καὶ ἐξεργάζεται ὅ τι ἂν τύχῃ· καὶ οὗτός ἐστιν
ὃν οἱ φαῦλοι τῶν ἀνθρώπων ἐρῶσιν. ἐρῶσι δὲ οἱ τοιοῦτοι
πρῶτον μὲν οὐχ ἧττον γυναικῶν ἢ παίδων, ἔπειτα, ὧν καὶ
ἐρῶσι, τῶν σωμάτων μᾶλλον ἢ τῶν ψυχῶν, ἔπειτα ὡς ἂν δύ-
νωνται ἀνοητοτάτων, πρὸς τὸ διαπράξασθαι μόνον βλέποντες,
ἀμελοῦντες δὲ τοῦ καλῶς ἢ μή. ὅθεν δὴ ξυμβαίνει αὐτοῖς,
ὅ τι ἂν τύχωσι τοῦτο πράττειν, ὁμοίως μὲν ἀγαθόν, ὁμοίως
C δὲ τοὐναντίον. ἔστι γὰρ καὶ ἀπὸ τῆς θεοῦ νεωτέρας τε οὔσης
πολὺ ἢ τῆς ἑτέρας καὶ μετεχούσης ἐν τῇ γενέσει καὶ θήλεος
καὶ ἄρρενος. ὁ δὲ τῆς οὐρανίας πρῶτον μὲν οὐ μετεχούσης
θήλεος ἀλλ' ἄρρενος μόνον [καί ἐστιν οὗτος ὁ τῶν παίδων
ἔρως], ἔπειτα πρεσβυτέρας, ὕβρεως ἀμοίρου, ὅθεν δὴ ἐπὶ τὰ
ἄρρεν τρέπονται οἱ ἐκ τούτου τοῦ ἔρωτος ἔπιπνοι, τὸ φύσει
ἐρρωμενέστερον καὶ νοῦν μᾶλλον ἔχον ἀγαπῶντες. καί τις ἂν
γνοίη καὶ ἐν αὐτῇ τῇ παιδεραστίᾳ τοὺς εἰλικρινῶς ὑπὸ τούτου
D τοῦ ἔρωτος ὡρμημένους. οὐ γὰρ ἐρῶσι παίδων, ἀλλ' ἐπειδὰν

3 ἐρῶσιν B | 6 ἀνοητάτως ς Schuetzius opp. p. 120 | 11 οὐδὲ τῆς C | 12 καί — ἔρως del. Schuetzius opp. p. 120 | 17 ἀλλ' ἢ ἐπειδὰν Stephanus

modulate compositam orationem? sed hos' inquit 'tamen numeros censeo uideas *ὁδοῦ πάρεργον*. ad ipsa enim Platonis penetralia ipsarumque rerum pondera et dignitates pergendum est, non ad uocularum eius amoenitatem nec ad uerborum uenustates deuersitandum'. haec admonitio Tauri de orationis Platonicae modulis non modo non repressit, sed instinxit etiam nos ad elegantiam graecae orationis uerbis latinis adfectandam. atque uti quaedam animalium parua et uilia ad imitandum sunt quas res cumque audierint uiderintue petulantia, proinde nos ea quae in Platonis oratione demiramur, non aemulari quidem sed lineas umbrasque facere ausi sumus. uelut ipsum hoc est quod ex isdem illis uerbis eius effinximus. 'Omne' inquit 'omnino factum sic sese habet: neque turpe est, quantum in eo est, neque honestum; uelut est, quas nunc facimus ipsi res, bibere cantare disserere. nihil namque horum ipsum ex sêse honestum est, quali cum fieret modo factum est, tale extitit, si recte honesteque factum est, tum honestum fit; sin parum recte, turpe fit: sic amare. sic amor non honestus omnis neque omnis laude dignus, sed qui facit nos ut honeste amemus.' | 3 *Hermias in Plat. Phaedr. p. 76* *διπλοῦν φασὶν εἶναι καὶ αὐτοὶ τὸν ἔρωτα, τὸν μὲν ἀστεῖον, τὸν δὲ φαῦλον, ἐπιθυμίαν τε καὶ ὄρεξιν συνουσίας κατὰ τὸν Παυσανίαν καὶ τὸν τραγῳδὸν τὸν εἰπόντα 'δίσσα πνεύματα πνεῖς, Ἔρως'* ⟨fr. adesp. 151⟩.



ἤδη ἄρχωνται νοῦν ἴσχειν· τοῦτο δὲ πλησιάζει τῷ γενειάσκειν.
παρεσκευασμένοι γάρ, οἶμαι, εἰσὶν οἱ ἐντεῦθεν ἀρχόμενοι ἐρᾶν
ὡς τὸν βίον ἅπαντα ξυνεσόμενοι καὶ κοινῇ συμβιωσόμενοι, ἀλλ'
οὐκ ἐξαπατήσαντες, ἐν ἀφροσύνῃ λαβόντες ὡς νέον, καταγελά-
σαντες οἰχήσεσθαι ἐπ' ἄλλον ἀποτρέχοντες. χρῆν δὲ καὶ νόμον
εἶναι μὴ ἐρᾶν παίδων, ἵνα μὴ εἰς ἄδηλον πολλὴ σπουδὴ ἀνη- E
λίσκετο· τὸ γὰρ τῶν παίδων τέλος ἄδηλον οἷ τελευτᾷ κακίας
καὶ ἀρετῆς ψυχῆς τε πέρι καὶ σώματος. οἱ μὲν οὖν ἀγαθοὶ τὸν
νόμον τοῦτον αὐτοὶ αὑτοῖς ἑκόντες τίθενται, χρῆν δὲ καὶ τού-
τους τοὺς πανδήμους ἐραστὰς προσαναγκάζειν τὸ τοιοῦτον,
ὥσπερ καὶ τῶν ἐλευθέρων γυναικῶν προσαναγκάζομεν αὐτοὺς
καθ' ὅσον δυνάμεθα μὴ ἐρᾶν. οὗτοι γάρ εἰσιν οἱ καὶ τὸ ὄνει- 182
δος πεποιηκότες, ὥστε τινὰς τολμᾶν λέγειν ὡς αἰσχρὸν χαρί-
ζεσθαι ἐρασταῖς· λέγουσι δὲ εἰς τούτους ἀποβλέποντες, ὁρῶν-
τες αὐτῶν τὴν ἀκαιρίαν καὶ ἀδικίαν, ἐπεὶ οὐ δή που κοσμίως
γε καὶ νομίμως ὁτιοῦν πραττόμενον ψόγον ἂν δικαίως φέροι.
καὶ δὴ καὶ ὁ περὶ τὸν ἔρωτα νόμος ἐν μὲν ταῖς ἄλλαις πόλεσι
νοῆσαι ῥάδιος· ἁπλῶς γὰρ ὥρισται· ὁ δ' ἐνθάδε [καὶ ἐν Λα-
κεδαίμονι] ποικίλος. ἐν Ἤλιδι μὲν γὰρ καὶ ἐν Βοιωτοῖς, καὶ B
οὗ μὴ σοφοὶ λέγειν, ἁπλῶς νενομοθέτηται καλὸν τὸ χαρίζεσθαι
ἐρασταῖς, καὶ οὐκ ἄν τις εἴποι οὔτε νέος οὔτε παλαιὸς ὡς αἰ-
σχρόν, ἵνα, οἶμαι, μὴ πράγματ' ἔχωσι λόγῳ πειρώμενοι πεί-
θειν τοὺς νέους, ἅτε ἀδύνατοι λέγειν· τῆς δὲ Ἰωνίας καὶ ἄλ-

1 ἄρχονται V | 5 χρῆν — 8 σώματος l. Ioa. Stob. flor. LII, 70 | 6 παῖδας Marklandus ad Lys. p. 535 (435) | 7 κακίας ἢ ἀρετῆς Hommelius | 9 χρὴ C | 15 καὶ τὴν ἀδικίαν C | 16 ὂν οὖν πραττόμενον V ὁτιοῦν πρᾶγμα πραττόμενον C | 17 νόμος ὁ ἐν R. B. Hirschigius zeitschr. f. d. alterth. wiss. 1851 p. 326 | 18 καὶ ἐν Λακεδαίμονι del. Winckelmannus | 19 καὶ ὁ ἐν C | 20 οὐ V | 22 ἵν' C | 23 τοῖς δὲ Astius | τῇ δὲ Ἰωνίᾳ Thierschius spec. p. 45 | Ἰωνίας πολλαχοῦ καὶ ἄλλοθι Stephanus

19 *Xenoph. conu. 8, 34* *καὶ μαρτύρια ἐπήγετο ⟨Παυσανίας⟩, ὡς ταῦτ' ἐγνωκότες εἶεν καὶ Θηβαῖοι καὶ Ἠλεῖοι. συγκαθεύδοντας γοῦν αὐτοῖς ὅμως παρατάττεσθαι ἔφη τὰ παιδικὰ ἐς τὸν ἀγῶνα· οὐδὲν τοῦτο σημεῖον λέγων ὅμοιον. ἐκείνοις μὲν γὰρ ταῦτα νόμιμα, ἡμῖν δ' ἐπονείδιστα. δοκοῦσι δ' ἐμοίγ' οἱ μὲν παραταττόμενοι ἀπιστοῦσιν ἐοικέναι, μὴ χωρὶς γενόμενοι οἱ ἐρώμενοι οὐκ ἀποτελῶσι τὰ τῶν ἀγαθῶν ἀνδρῶν ἔργα. Λακεδαιμόνιοι δ' οἱ νομίζοντες, ἐὰν καὶ ὀρεχθῇ τις σώματος, μηδενὸς ἂν ἔτι καλοῦ κἀγαθοῦ τοῦτον τυχεῖν, οὕτω τελέως τοὺς ἐρωμένους ἀγαθοὺς ἀπεργάζονται, ὥστε κἂν μετὰ ξένων, κἂν μὴ ἐν τῇ αὐτῇ πόλει ταχθῶσι τῷ ἐραστῇ, ὅμως αἰδοῦνται τοὺς παρόντας ἀπολείπειν· θεὰν γὰρ οὐκ Ἀναίδειαν ἀλλὰ τὴν Αἰδῶ νομίζουσι.*

λοθι πολλαχοῦ αἰσχρὸν νενόμισται, ὅσοι ὑπὸ βαρβάροις οἰκοῦσι.
τοῖς γὰρ βαρβάροις διὰ τὰς τυραννίδας αἰσχρὸν τοῦτό τε καὶ
C ἥ γε φιλοσοφία καὶ ἡ φιλογυμναστία· οὐ γάρ, οἶμαι, συμφέρει
τοῖς ἄρχουσι φρονήματα μεγάλα γίγνεσθαι τῶν ἀρχομένων, οὐδὲ
φιλίας ἰσχυρὰς καὶ κοινωνίας, ὃ δὴ μάλιστα φιλεῖ τά τε ἄλλα
πάντα καὶ ὁ ἔρως ἐμποιεῖν. ἔργῳ δὲ τοῦτο ἔμαθον καὶ οἱ ἐν-
θάδε τύραννοι· ὁ γὰρ Ἀριστογείτονος ἔρως καὶ ἡ Ἁρμοδίου
φιλία βέβαιος γενομένη κατέλυσεν αὐτῶν τὴν ἀρχήν. οὕτως οὗ
μὲν αἰσχρὸν ἐτέθη χαρίζεσθαι ἐρασταῖς, κακίᾳ τῶν θεμένων
D κεῖται, τῶν μὲν ἀρχόντων πλεονεξίᾳ, τῶν δὲ ἀρχομένων ἀναν-
δρίᾳ· οὗ δὲ καλὸν ἁπλῶς ἐνομίσθη, διὰ τὴν τῶν θεμένων τῆς
ψυχῆς ἀργίαν. ἐνθάδε δὲ πολὺ τούτων κάλλιον νενομοθέτηται
καί, ὅπερ εἶπον, οὐ ῥᾴδιον κατανοῆσαι. ἐνθυμηθέντι γὰρ ὅτι
λέγεται κάλλιον τὸ φανερῶς ἐρᾶν τοῦ λάθρᾳ, καὶ μάλιστα τῶν
γενναιοτάτων καὶ ἀρίστων, κἂν αἰσχίους ἄλλων ὦσι, καὶ ὅτι αὖ
ἡ παρακέλευσις τῷ ἐρῶντι παρὰ πάντων θαυμαστή, οὐχ ὥς τι
E αἰσχρὸν ποιοῦντι, καὶ ἑλόντι καλὸν δοκεῖ εἶναι καὶ μὴ ἑλόντι
αἰσχρόν, καὶ πρὸς τὸ ἐπιχειρεῖν ἑλεῖν ἐξουσίαν ὁ νόμος δέ-
δωκε τῷ ἐραστῇ θαυμαστὰ ἔργα ἐργαζομένῳ ἐπαινεῖσθαι, ἃ εἴ
τις τολμῴη ποιεῖν ἄλλ᾽ ὁτιοῦν διώκων καὶ βουλόμενος διαπρά-
183 ξασθαι πλὴν τοῦτο, τὰ μέγιστα καρποῖτ᾽ ἂν ὀνείδη. εἰ γὰρ ἢ
χρήματα βουλόμενος παρά του λαβεῖν ἢ ἀρχὴν ἄρξαι ἤ τιν᾽
ἄλλην δύναμιν ἐθέλοι ποιεῖν οἷά περ οἱ ἐρασταὶ πρὸς τὰ παι-
δικά, ἱκετείας τε καὶ ἀντιβολήσεις ἐν ταῖς δεήσεσι ποιούμενοι,
καὶ ὅρκους ὀμνύντες, [καὶ κοιμήσεις ἐπὶ θύραις,] καὶ ἐθέλον-
τες δουλείας δουλεύειν οἵας οὐδ᾽ ἂν δοῦλος οὐδείς, ἐμποδί-
ζοιτο ἂν μὴ πράττειν οὕτω τὴν πρᾶξιν καὶ ὑπὸ φίλων καὶ
B ὑπὸ ἐχθρῶν, τῶν μὲν ὀνειδιζόντων κολακείας καὶ ἀνελευθερίας,

1 νενόμισται καὶ (uel μάλιστα δὲ) ὅσοι Rueckertus | 2 τοῦτό τε καὶ Hermannus: τοῦτο γε καὶ BVC | 4 γίγνεσθαι scripsi: ἐγγίγνεσθαι BVC | 5 ἄλλα ταῦτα Schleiermacherus | 12 ἐνθάδε δὲ ς: δὲ om. BVC | 15 καὶ ἂν C | ὅτι καὶ C | 17 ἑλόντι τὲ C | 19 ἄι εἴ τις BV corr. b | 20 ἄλλο τι ουν BV | 21 πλὴν τοῦτο τὰ Bekkerus Teuffelius rhein. mus. n. s. XVI p. 312: πλὴν τοῦτο φιλοσοφίας τὰ BVC πλὴν τοῦτο τῆς ἀτοπίας τὰ Rueckertus πλῆν τοῦτο φλυαρίας Creuzerus zur gesch. d. griech. u. roem. litterat. p. 129 πλὴν φιλίας Hermannus | 22 τινα V | 23 ἐθέλει C | οἷάπερ B | 25 ἐθελονταὶ δουλείας δουλεύοντες Astius | 26 δουλείας om. V | ἐμποδίζοιτ᾽ C | 28 ὑπ᾽ C | ἀνελευθερείας V

35 *Bekkeri anecd. p. 407, 28* ἀντιβόλησις· δέησις καὶ ἱκεσία, ἀντὶ τοῦ παράκλησις. **Πλάτων ἐν συμποσίῳ** καὶ ἐν τῇ ἀπολογίᾳ ⟨p. 37 A⟩. ὠνόμασται δὲ ἀπὸ τοῦ τὰς χεῖρας προβάλλειν τοῖς ἐναντίοις τοὺς ἱκετεύοντας.



τῶν δὲ νουθετούντων καὶ αἰσχυνομένων ὑπὲρ αὐτοῦ· τῷ δ᾽
ἐρῶντι πάντα ταῦτα ποιοῦντι χάρις ἕπεται, καὶ δέδοται ὑπὸ
τοῦ νόμου ἄνευ ὀνείδους πράττειν, ὡς πάγκαλόν τι πρᾶγμα
διαπραττομένου. ὃ δὲ δεινότατον, ὥς γε λέγουσιν οἱ πολλοί,
ὅτι καὶ ὀμνύντι μόνῳ συγγνώμη παρὰ θεῶν ἐκβάντι τὸν ὅρ-
κον· ἀφροδίσιον γὰρ ὅρκον οὔ φασιν εἶναι ἐμποίνιμον. οὕτω
καὶ οἱ θεοὶ καὶ οἱ ἄνθρωποι πᾶσαν ἐξουσίαν πεποιήκασι τῷ C
ἐρῶντι, ὡς ὁ νόμος φησὶν ὁ ἐνθάδε. ταύτῃ μὲν οὖν οἰηθείη
ἄν τις πάγκαλον νομίζεσθαι ἐν τῇδε τῇ πόλει καὶ τὸ ἐρᾶν καὶ
τὸ φίλους γίγνεσθαι τοῖς ἐρασταῖς. ἐπειδὰν δὲ παιδαγωγοὺς
ἐπιστήσαντες οἱ πατέρες τοῖς ἐρωμένοις μὴ ἐῶσι διαλέγεσθαι
τοὺς ἐραστάς, [καὶ τῷ παιδαγωγῷ ταῦτα προστεταγμένα ᾖ,]
ἡλικιῶται δὲ καὶ ἑταῖροι ὀνειδίζωσιν, ἐάν τι ὁρῶσι τοιοῦτο
γιγνόμενον, καὶ τοὺς ὀνειδίζοντας αὖ οἱ πρεσβύτεροι μὴ διακω- D
λύωσι μηδὲ λοιδορῶσιν ὡς οὐκ ὀρθῶς λέγοντας, εἰς δὲ ταῦτά
τις αὖ βλέψας ἡγήσαιτ᾽ ἂν πάλιν αἴσχιστον τὸ τοιοῦτον ἐν-

1 αὐτοῦ Orellius ad Isocr. de permut. p. 327: αὐτῶν BVC | 2 ταῦτα πάντα C | 3 πάγκαλόν γε C | 4 ὃ δὲ — 8 ἐνθάδε l. Ioa. Stob. flor. LXIII, 30 ὃ δὲ — ἐρῶντι l. Cyrillus adu. Iulian. VI p. 187 C | 5 τῶν ὅρκον B τῶν ὅρκων C | 6 οὐ φασὶν B | ἐμποίνιμον add. Osannus ad Cornut. p. 321: om. BVC Ioa. Stob. Cyrill. | 12 τοὺς ἐραστάς Orellius ad Isocr. de permut. p. 327: τοῖς ἐρασταῖς BVC | ᾖ om. BV | 13 ἕτεροι V | 15 λοιδορῶσι λέγοντας ὡς οὐκ ὀρθῶς C

6 *schol.* ἀφροδίσιος ⟨γὰρ add. Grotius ad. Ioa. Stob. flor. XXVIII, 2⟩ ὅρκος οὐκ ἐμποίνιμος· ἐπὶ τῶν δι᾽ ἔρωτα ὀμνυόντων πολλάκις καὶ ἐπιορκούντων. μέμνηται δὲ ταύτης καὶ Ἡσίοδος ⟨fr. 5 G. 176 M.⟩ λέγων

ἐκ τοῦδ᾽ ὅρκον ἔθηκεν ἀμείνονα ⟨ἀπήμονα G. Hermannus opp. VI p. 257⟩ ἀνθρώποισι
νοσφιδίων ἔργων περὶ ⟨πέρι Markscheffelius⟩ Κύπριδος,

καὶ Πλάτων ἐν συμποσίῳ. *Hesych.* ἀφροδίσιος ὅρκος παροιμία, ἣν καὶ ἀναγράφουσι 'ἀφροδίσιος ὅρκος οὐ δάκνει'. πρῶτος δὲ Ἡσίοδος ἔπλασε τὰ περὶ τὸν Δία καὶ τὴν Ἰώ. 'ὤμοσεν, ἀλλὰ . . . *Apollodor. II, 1, 3* Ἡσίοδος καὶ Ἀκουσίλαος Πειρῆνος αὐτὴν ⟨Ἰώ⟩ λέγει. ταύτην ἱερωσύνην τῆς Ἥρας ἔχουσαν Ζεὺς ἔφθειρε, φωραθεὶς δὲ ὑφ᾽ Ἥρας τῆς μὲν κόρης ἁψάμενος ἐς βοῦν μετεμόρφωσε λευκήν, αὐτῇ δὲ ἀπωμόσατο μὴ συνελθεῖν. διό φησιν Ἡσίοδος οὐκ ἐπισπᾶσθαι τὴν ἀπὸ τῶν θεῶν ὀργὴν τοὺς γενομένους ὅρκους περὶ ἐρώτων. *Diogenian. III, 37* ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος· ἐπὶ τῶν ἐρωτικῶν. *Cornut. n. d. 24* ἀκύρους δὲ καὶ οὐκ ἐμποινίμους ἔφασαν τοὺς ἀφροδισίους ὅρκους εἶναι, παρ᾽ ὅσον κἂν ᾖ ῥᾳδία παρασχεθῆναι, μεθ᾽ ὅρκων ἐπάγεσθαι συμβέβηκε τοὺς πειρῶντας οἷς ἂν πειρῶσι.

θάδε νομίζεσθαι. τὸ δέ, οἶμαι, ὧδ' ἔχει. οὐχ ἁπλοῦν ἐστίν,
ὅπερ ἐξ ἀρχῆς ἐλέχθη, οὔτε καλὸν εἶναι αὐτὸ καθ' αὑτὸ οὔτε
αἰσχρόν, ἀλλὰ καλῶς μὲν πραττόμενον καλόν, αἰσχρῶς δὲ αἰ-
σχρόν. αἰσχρῶς μὲν οὖν ἐστὶ πονηρῷ τε καὶ πονηρῶς χαρίζε-
σθαι, καλῶς δὲ χρηστῷ τε καὶ χρηστῶς. πονηρὸς δ' ἐστὶν ἐκεῖ-
E νος ὁ ἐραστὴς ὁ πάνδημος, ὁ τοῦ σώματος μᾶλλον ἢ τῆς ψυ-
χῆς ἐρῶν. καὶ γὰρ οὐδὲ μόνιμός ἐστιν, ἅτε οὐ μονίμου ἐρῶν
πράγματος· ἅμα γὰρ τῷ τοῦ σώματος ἄνθει λήγοντι, οὗπερ
ἤρα, 'οἴχεται ἀποπτάμενος', πολλοὺς λόγους καὶ ὑποσχέσεις
καταισχύνας. ὁ δὲ τοῦ ἤθους χρηστοῦ ὄντος ἐραστὴς διὰ βίου
184 μένει, ἅτε μονίμῳ συντακείς. τούτους δὴ βούλεται ὁ ἡμέτερος
νόμος εὖ καὶ καλῶς βασανίζειν, καὶ τοῖς μὲν χαρίσασθαι, τοὺς
δὲ διαφεύγειν. διὰ ταῦτα οὖν τοῖς μὲν διώκειν παρακελεύεται,
τοῖς δὲ φεύγειν, ἀγωνοθετῶν καὶ βασανίζων, ποτέρων ποτέ
ἐστιν ὁ ἐρῶν καὶ ποτέρων ὁ ἐρώμενος. οὕτω δὴ [ὑπὸ ταύτης
τῆς αἰτίας] πρῶτον μὲν τὸ ἁλίσκεσθαι ταχὺ αἰσχρὸν νενόμισται,
ἵνα χρόνος ἐγγένηται, ὃς δὴ δοκεῖ τὰ πολλὰ καλῶς βασανίζειν·
B ἔπειτα τὸ ὑπὸ χρημάτων καὶ ὑπὸ πολιτικῶν δυνάμεων ἁλῶναι
αἰσχρόν, ἐάν τε κακῶς πάσχων πτήξῃ καὶ μὴ καρτερήσῃ, ἄν τ'
εὐεργετούμενος [εἰς χρήματα ἢ εἰς διαπράξεις πολιτικὰς] μὴ
καταφρονήσῃ· οὐδὲν γὰρ δοκεῖ τούτων οὔτε βέβαιον οὔτε μό-
νιμον εἶναι, χωρὶς τοῦ μηδὲ πεφυκέναι ἀπ' αὐτῶν γενναίαν φι-
λίαν. μία δὴ λείπεται τῷ ἡμετέρῳ νόμῳ ὁδός, εἰ μέλλει κα-
λῶς χαριεῖσθαι ἐραστῇ παιδικά. ἔστι γὰρ ἡμῖν νόμος, ὥσπερ
C ἐπὶ τοῖς ἐρασταῖς ἦν δουλεύειν ἐθέλοντα ἡντινοῦν δουλείαν
παιδικοῖς μὴ κολακείαν εἶναι μηδὲ ἐπονείδιστον, οὕτω δὴ καὶ

1 τὸ δ' C | οὐχ del. Bastius krit. uers. p. 31 | ἁπλῶς Astius | 2 οὔτ' αὐτὸ C | εἶναι del. Stephanus Astius | εἶναι καὶ καθ' C | οὔτ' C | 3 δ' C | 4 αἰσχρὸν Stephanus | 5 καλῶς ς: καλὸν BVC | χρηστῶς Sauppius: καλῶς BVC | 6 ἐρῶν ἢ τῆς ψυχῆς C | 7 πράγματος ἐρῶν C | 8 λήγοντος Sydenhamus | 10 χρηστοῦ ἤθους C | 13 διὰ ταῦτα — 15 ἐρώμενος del. Schuetzius opp. p. 121 Astius | τοὺς μὲν — τοὺς δὲ ς | 14 ποτέρω ποτ' V | 15 καὶ ποτέρων del. Bastius krit. uers. p. 34 | καὶ ὑπὸ C | ὑπὸ ταύτης τῆς αἰτίας del. Baiterus | 18 ἢ ὑπὸ πολιτικῶν R. B. Hirschigius ztschr. f. d. alterth. wiss. 1851 p. 327 | 19 αἰσχρόν del. R. B. Hirschigius | 20 εἰς — πολιτικὰς del. R. B. Hirschigius | 24 ἔστι γὰρ — p. 21, 5 κολακεία l. Ioa. Stob. flor. V, 131 | ὥσπερ VC Ioa. Stob. | 25 ἐθελοντὰς Ioa. Stob. ἐθελοντὴν Bastius krit. uers. p. 35 | ἡντιναοῦν C

9 *Homer. Il. B, 70* ὣς ὅ γε εἰπὼν ᾤχετ' ἀποπτάμενος, ἐμὲ δὲ γλυκὺς ὕπνος ἀνῆκεν. | 11 *schol.* βασανίζειν· δοκιμάζειν, διακρίνειν. μετενήνεκται δὲ ἀπὸ τῆς Λυδῆς λίθου δι' ἧς ὁ χρυσὸς βασανίζεται, τουτέστι δοκιμάζεται.



ἄλλη μία μόνη δουλεία ἑκούσιος λείπεται οὐκ ἐπονείδιστος·
11 αὕτη δέ ἐστιν ἡ περὶ τὴν ἀρετήν. νενόμισται γὰρ δὴ ἡμῖν, ἐάν
τις ἐθέλῃ τινὰ θεραπεύειν ἡγούμενος δι' ἐκεῖνον ἀμείνων ἔσε-
σθαι ἢ κατὰ σοφίαν τινὰ ἢ κατὰ ἄλλο ὁτιοῦν μέρος ἀρετῆς,
αὕτη αὖ ἡ ἐθελοδουλεία οὐκ αἰσχρὰ εἶναι οὐδὲ κολακεία. δεῖ
δὴ τὼ νόμω τούτω ξυμβαλεῖν εἰς ταὐτό, τόν τε περὶ τὴν παι-
δεραστίαν καὶ τὸν περὶ τὴν φιλοσοφίαν τε καὶ τὴν ἄλλην ἀρε- D
τήν, εἰ μέλλει ξυμβῆναι καλὸν γενέσθαι τὸ ἐραστῇ παιδικὰ χα-
ρίσασθαι. ὅταν γὰρ εἰς τὸ αὐτὸ ἔλθωσιν ἐραστής τε καὶ παι-
δικά, νόμον ἔχων ἑκάτερος, ὁ μὲν χαρισαμένοις παιδικοῖς ὑπη-
ρετῶν ὁτιοῦν δικαίως ἂν ὑπηρετεῖν, ὁ δὲ τῷ ποιοῦντι αὐτὸν
σοφόν τε καὶ ἀγαθὸν δικαίως αὖ ὁτιοῦν ἂν ὑπουργῶν, καὶ ὁ
μὲν δυνάμενος εἰς φρόνησιν καὶ τὴν ἄλλην ἀρετὴν ξυμβάλλε-
σθαι, ὁ δὲ δεόμενος παίδευσιν καὶ τὴν ἄλλην σοφίαν κτᾶσθαι, E
τότε δὴ τούτων ξυνιόντων εἰς ταὐτὸν τῶν νόμων μοναχοῦ ἐν-
ταῦθα ξυμπίπτει τὸ καλὸν εἶναι παιδικὰ ἐραστῇ χαρίσασθαι,
ἄλλοθι δὲ οὐδαμοῦ. ἐπὶ τούτῳ καὶ ἐξαπατηθῆναι οὐδὲν αἰ-
σχρόν· ἐπὶ δὲ τοῖς ἄλλοις πᾶσι καὶ ἐξαπατωμένῳ αἰσχύνην
φέρει καὶ μή. εἰ γάρ τις ἐραστῇ ὡς πλουσίῳ πλούτου ἕνεκα 185
χαρισάμενος ἐξαπατηθείη καὶ μὴ λάβοι χρήματα, ἀναφανέντος
τοῦ ἐραστοῦ πένητος, οὐδὲν ἧττον αἰσχρόν· δοκεῖ γὰρ ὁ τοιοῦ-
τος τό γε αὑτοῦ ἐπιδεῖξαι, ὅτι ἕνεκα χρημάτων ὁτιοῦν ἂν ὁτῳ-
οῦν ὑπηρετοῖ, τοῦτο δὲ οὐ καλόν. κατὰ τὸν αὐτὸν δὴ λόγον
κἂν εἴ τις ὡς ἀγαθῷ χαρισάμενος καὶ αὐτὸς ὡς ἀμείνων ἐσό-
μενος διὰ τὴν φιλίαν τοῦ ἐραστοῦ ἐξαπατηθείη, ἀναφανέντος
ἐκείνου κακοῦ καὶ οὐ κεκτημένου ἀρετήν, ὅμως καλὴ ἡ ἀπάτη· B
δοκεῖ γὰρ αὖ καὶ οὗτος τὸ καθ' αὑτὸν δεδηλωκέναι, ὅτι ἀρετῆς
γ' ἕνεκα καὶ τοῦ βελτίων γενέσθαι πᾶν ἂν παντὶ προθυμηθείη,
τοῦτο δὲ αὖ πάντων κάλλιστον. οὕτω πάντως γε καλὸν ἀρε-
τῆς ἕνεκα χαρίζεσθαι. οὗτός ἐστιν ὁ τῆς οὐρανίας θεοῦ ἔρως

1 ἄλλη μία μόνη ς Ioa. Stob.: ἄλλη μία μῶν B μόνη b ἄλη μία μῶν V ἄλλη μία μόνον C ἄλλη μία νομίμη Bastius krit. uers. p. 36 ἄλλη μία νόμῳ Winckelmannus ἄλλος ᾧ τούτοις μία uel τούτοις μία Schuetzius opp. p. 121 | μόνη del. Rueckertus | 3 τίς τινα θέλῃ Ioa. Stob. | ἐκεῖνο BV | 4 τινὰ del. R. B. Hirschigius ztschr. f. d. alterth. wiss. 1851 p. 328 | κατ' C | 7 τὴν σοφίαν R. B. Hirschigius | 8 ξυμβαίνει V | τῷ V | 11 δικαίως οὖν BV | ὑπηρετῶν Bastius krit. uers. p. 117 | αὑτὸν Sauppius | 12 κἀγαθόν C | ὑπουργεῖν C | 13 ξυμβαλέσθαι BV | 14 δεόμενος εἰς BVC εἰς del. Schuetzius opp. p. 121 | 15 τῶν νόμων del. Bastius krit. uers. p. 117 | 22 ὁτοιοῦν V | 23 δ' οὐ C | 24 καὶ εἴ R. B. Hirschigius misc. phil. III p. 82 | χαρισόμενος Stephanus | 25 τοῦ om. V | 27 αὖ om. C | 29 δ' αὖ C | οὕτω — p. 22, 4 πανδήμου l. Ioa. Stob. ecl. phys. I, 9, 14 | οὕτω πᾶν πάντως Ioa. Stob.

καὶ οὐράνιος καὶ πολλοῦ ἄξιος καὶ πόλει καὶ ἰδιώταις, πολλὴν
C ἐπιμέλειαν ἀναγκάζων ποιεῖσθαι πρὸς ἀρετὴν τόν τε ἐρῶντα
αὐτὸν αὑτοῦ καὶ τὸν ἐρώμενον· οἱ δ' ἕτεροι πάντες τῆς ἑτέρας,
τῆς πανδήμου. ταῦτά σοι, ἔφη, ὡς ἐκ τοῦ παραχρῆμα, ὦ Φαῖ-
δρε, περὶ Ἔρωτος συμβάλλομαι.

Παυσανίου δὲ παυσαμένου — διδάσκουσι γάρ με ἴσα λέ-
γειν οὑτωσὶ οἱ σοφοί, ἔφη ὁ Ἀριστόδημος — δεῖν μὲν Ἀριστο-
φάνη λέγειν, τυχεῖν δὲ αὐτῷ τινὰ ἢ ὑπὸ πλησμονῆς ἢ ὑπό τι-
νος ἄλλου λύγγα ἐπιπεπτωκυῖαν καὶ οὐχ οἷόν τε εἶναι λέγειν,
D ἀλλ' εἰπεῖν αὐτόν — ἐν τῇ κάτω γὰρ αὐτοῦ τὸν ἰατρὸν Ἐρυξί-

2 τόν τ' C | ἔρωτα Ioa. Stob. | 3 τοῦ ἐρωμένου Bastius krit. uers. p. 37 | 5 συμβάλλομεν BV | 6 Παυσανίου — σοφοί l. Hermogenes π. ἰδ. I, 12 t. III p. 248 W. π. μεθ. δειν. 14 t. III p. 418 W. | Παυσανίου δὲ παυσαμένου l. anon. de fig. t. VIII p. 639. 710 W. schol. Hermog. t. VII p. 1040 W. Stephanus Crameri anecd. paris. I p. 312 | 8 δ' αὐτῷ C | 10 τῶν ἰατρῶν BV

4 *schol.* ἐκ τοῦ παραχρῆμα· ἐκ τοῦ αὐτομάτου, ἐκ τοῦ προχείρου. | 7 *Athen. V p. 187 E* Πλάτων δὲ — τὸν μὲν ὑπὸ τῆς λυγγὸς ὀχλούμενον καὶ θεραπευόμενον ἀνακογχυλιασμοῖς ὕδατος, ἐν δὲ ταῖς ὑποθήκαις τοῦ κάρφους, ἵνα τὴν ῥῖνα κινήσας πτάρῃ, παρίημι· κωμῳδεῖν γὰρ ἤθελε καὶ διασύρειν — χλευάζει τε τὰ ἰσόκωλα τὰ Ἀγάθωνος καὶ τὰ ἀντίθετα καὶ τὸν Ἀλκιβιάδην δὲ παράγει λέγοντα ὅτι πασχητιᾷ. *Aristid. 47 II p. 330* οὐκ Ἀριστοφάνει μὲν λύγγα προσάπτει οὐδὲν πρὸς λόγον, μᾶλλον δὲ καὶ παντέλως πρᾶγμα ἄχαρι καὶ ἀπᾷδον τῶν περὶ Ἔρωτος λόγων; | 8 *schol.* τὸ τοῦ λυγμοῦ σύμπτωμα ἐπιγίνεται τῷ στομάχῳ διὰ πλήρωσιν ἢ κένωσιν ἢ ψῦξιν, ἐνίοτε δὲ καὶ διὰ δῆξιν δριμέων ὑγρῶν καὶ φαρμακωδῶν ταῖς ποιότησιν· οὓς ἐὰν ἐμῶσιν, αὐτίκα παύονται λύζοντες. πολλοὶ καὶ τὸ διὰ τριῶν πεπερῶν πιόντες ἢ αὐτὸ τὸ πέπερι, ἐὰν εὐθέως ἐπιπίωσιν οἶνον, αὐτίκα λύζουσι. καὶ τροφῆς δὲ διαφθαρείσης εἰς δακνώδη ποιότητα λύζουσιν ἔνιοι. καὶ ῥιγώσαντες δὲ τὸ στόμα τῆς κοιλίας ἔνιοι λύζουσι, καὶ μάλιστά γε τοῖς παισὶ συμβαίνει λύζειν συνεχῶς ἐπὶ τῇ τοῦ στομάχου ψύξει καὶ τῇ τῆς τροφῆς διαφθορᾷ. γίνεται δὲ λυγμὸς καὶ ἐν πυρετοῖς καὶ μάλιστα φλεγμαίνοντος στομάχου ἢ ἑτέρου σπλάγχνου. ψύξεως μὲν οὖν προηγησαμένης τοῦ λυγμοῦ ἐπιτίθει τῷ στομάχῳ ἐν ἐρίῳ ἔλαιον, ἐν ᾧ ἑψῶμεν κύμινον, πήγανον, ἀψίνθιον· δίδου δὲ ποτὸν πήγανον μετ' οἴνου ἢ σεύτλου ἡψημένου μελικράτῳ. καλὸν δὲ καὶ τὸ σκιλλητικὸν ὄξος καταρροφούμενον. τὸ δὲ καστόρειον καὶ τοῖς διὰ ψῦξιν λύζουσι τελείοις δίδου, καὶ τοῖς ἐπὶ πλήθει χυμῶν τοῦτο πάσχουσι, δι' ὀξυκράτου κεράτια ιη'. ὅταν δὲ ὑπὸ πληρώσεως λυγμὸς γένηται, ἔμετος τούτοις ἴαμα καὶ τῶν ἄκρων τρῖψις καὶ πνεύματος κατοχή ⟨cf. Galen. de comp. medic. sec. loc. VIII, t. XIII p. 571 Ch. de rem. parab. III t. X p. 662 Ch.⟩



μαχον κατακεῖσθαι — Ὦ Ἐρυξίμαχε, δίκαιος εἶ ἢ παῦσαί με
τῆς λυγγὸς ἢ λέγειν ὑπὲρ ἐμοῦ, ἕως ἂν ἐγὼ παύσωμαι. καὶ
τὸν Ἐρυξίμαχον εἰπεῖν Ἀλλὰ ποιήσω ἀμφότερα ταῦτα. ἐγὼ
μὲν γὰρ ἐρῶ ἐν τῷ σῷ μέρει, σὺ δ' ἐπειδὰν παύσῃ, ἐν τῷ ἐμῷ·
ἐν ᾧ δ' ἂν ἐγὼ λέγω, ἐὰν μέν σοι ἐθέλῃ ἀπνευστὶ ἔχοντι οὐ
πολὺν χρόνον παύεσθαι ἡ λύγξ· εἰ δὲ μή, ὕδατι ἀνακογχυλία-
σον. εἰ δ' ἄρα πάνυ ἰσχυρά ἐστιν, ἀναλαβών τι τοιοῦτον οἵῳ E
κνήσαις ἂν τὴν ῥῖνα, πτάρε· καὶ ἐὰν τοῦτο ποιήσῃς ἅπαξ ἢ
δίς, καὶ εἰ πάνυ ἰσχυρά ἐστι, παύσεται. Οὐκ ἂν φθάνοις λέ-
γων, φάναι τὸν Ἀριστοφάνη· ἐγὼ δὲ ταῦτα ποιήσω.

12 Εἰπεῖν δὴ τὸν Ἐρυξίμαχον· Δοκεῖ τοίνυν μοι ἀναγκαῖον
εἶναι, ἐπειδὴ Παυσανίας ὁρμήσας ἐπὶ τὸν λόγον καλῶς οὐχ ἱκα- 186
νῶς ἀπετέλεσε, [δεῖν ἐμὲ] πειρᾶσθαι τέλος ἐπιθεῖναι τῷ λόγῳ.
τὸ μὲν γὰρ διπλοῦν εἶναι τὸν Ἔρωτα δοκεῖ μοι καλῶς διελέ-
σθαι· ὅτι δὲ οὐ μόνον ἐστὶν ἐπὶ ταῖς ψυχαῖς τῶν ἀνθρώπων
πρὸς τοὺς καλοὺς ἀλλὰ καὶ πρὸς ἄλλα πολλὰ καὶ ἐν τοῖς ἄλ-
λοις, τοῖς τε σώμασι τῶν πάντων ζώων καὶ τοῖς ἐν τῇ γῇ φυο-
μένοις καὶ ὡς ἔπος εἰπεῖν ἐν πᾶσι τοῖς οὖσι, καθεωρακέναι
μοι δοκῶ ἐκ [τῆς ἰατρικῆς,] τῆς ἡμετέρας τέχνης, ὡς μέγας καὶ
θαυμαστὸς καὶ ἐπὶ πᾶν ὁ θεὸς τείνει καὶ κατ' ἀνθρώπινα καὶ B
κατὰ θεῖα πράγματα. ἄρξομαι δὲ ἀπὸ τῆς ἰατρικῆς λέγων, ἵνα
καὶ πρεσβεύωμεν τὴν τέχνην. ἡ γὰρ φύσις τῶν σωμάτων τὸν
διπλοῦν Ἔρωτα τοῦτον ἔχει. τὸ γὰρ ὑγιὲς τοῦ σώματος καὶ

5 ἐὰν μέν — 9 παύσεται l. Ioa. Stob. flor. C, 28 | οὐ add. Sauppius: om. BVC | 6 παύσασθαι Ioa. Stob. | 7 τοιοῦτο BC | ὅτῳ Cobetus nouu. lectt. p. 523 (mnemos. VII p. 163) | 8 κνήσαις edd. Ioa. Stob. Wyttenbachius bibl. crit. I, 2 p. 50: κινήσαις BVC κνήσαιο Luzacius lectt. att. p. 125 | 10 εἰπεῖν C | 11 δὲ C | 13 δεῖν ἐμὲ del. R. B. Hirschigius misc. philol. et paedag. III p. 74 | 14 τὸ μὲν γὰρ — p. 24, 3 νοσώδει l. Ioa. Stob. ecl. phys. I, 9, 15 | 19 τῆς ἰατρικῆς del. Naberus obss. critt. in Plat. p. 4 | 21 κατὰ om. C | 22 ἥ τε γὰρ Sauppius | 23 ἔχῃ B

6 *schol.* ἀνακογχυλιάσαι· τὸ κλύσαι τὴν φάρυγγα, ὃ λέγομεν ἀναγαργαρίσαι. *Tim.* ἀνακογχυλιάσαι· ἀναγαργαρίσαι. | 9 *schol.* οὐκ ἂν φθάνοις· ἐπὶ τῶν εἰς πέρας ἀγόντων ἀξίωσίν τινος, μήπω πέρας ἐπιθέντος αὐτῇ. | 18 *schol.* ὡς ἔπος εἰπεῖν· ὡς φαίνεται, ὡς ἐν λόγῳ εἰπεῖν. τοῦτο σχηματίζεται παρὰ τοῖς παλαιοῖς καὶ ὡς εἰπεῖν ἔπος, καὶ ὡς ἔπος εἰπεῖν, καὶ ὡς ἔπος φάναι, καὶ ὡς φάναι ἔπος. ἔτι δὲ καὶ διὰ μιᾶς λέξεως ἐκφωνεῖται, οἷον ὡς φάναι καὶ ὡς εἰπεῖν. σημαίνει δὲ τὸ αὐτό. οἱ δέ φασιν ἀντὶ τοῦ ὡς φαίνεται κεῖσθαι, ἢ ἀντὶ τοῦ ὡς ἐν λόγῳ εἰπεῖν. | 22 *schol.* πρεσβεύωμεν· προτιμῶμεν, μεγαλύνωμεν.

τὸ νοσοῦν ὁμολογουμένως ἕτερόν τε καὶ ἀνόμοιόν ἐστι, τὸ δὲ
ἀνόμοιον ἀνομοίων ἐπιθυμεῖ καὶ ἐρᾷ. ἄλλος μὲν οὖν ὁ ἐπὶ τῷ
ὑγιεινῷ ἔρως, ἄλλος δὲ ὁ ἐπὶ τῷ νοσώδει. ἔστι δή, ὥσπερ
C ἄρτι Παυσανίας ἔλεγε, τοῖς μὲν ἀγαθοῖς καλὸν χαρίζεσθαι τῶν
ἀνθρώπων, τοῖς δὲ ἀκολάστοις αἰσχρόν, οὕτω καὶ ἐν αὐτοῖς
τοῖς σώμασι τοῖς μὲν ἀγαθοῖς ἑκάστου τοῦ σώματος καὶ ὑγιει-
νοῖς καλὸν χαρίζεσθαι καὶ δεῖ, καὶ τοῦτό ἐστιν ᾧ ὄνομα τὸ ἰα-
τρικόν, τοῖς δὲ κακοῖς καὶ νοσώδεσιν αἰσχρόν τε καὶ δεῖ ἀχα-
ριστεῖν, εἰ μέλλει τις τεχνικὸς εἶναι. ἔστι γὰρ ἰατρική, ὡς ἐν
κεφαλαίῳ εἰπεῖν, ἐπιστήμη τῶν τοῦ σώματος ἐρωτικῶν πρὸς
πλησμονὴν καὶ κένωσιν, καὶ ὁ διαγιγνώσκων ἐν τούτοις τὸν κα-
D λόν τε καὶ αἰσχρὸν ἔρωτα, οὗτός ἐστιν ὁ ἰατρικώτατος, καὶ ὁ
μεταβάλλειν ποιῶν, ὥστε ἀντὶ τοῦ ἑτέρου ἔρωτος τὸν ἕτερον
κτᾶσθαι, καὶ οἷς μὴ ἔνεστιν ἔρως, δεῖ δ' ἐγγενέσθαι, ἐπιστά-
μενος ἐμποιῆσαι καὶ ἐνόντα ἐξελεῖν, ἀγαθὸς ἂν εἴη δημιουργός.
δεῖ γὰρ δὴ τὰ ἔχθιστα ὄντα ἐν τῷ σώματι φίλα οἷόν τ' εἶναι
ποιεῖν καὶ ἐρᾶν ἀλλήλων· ἔστι δὲ ἔχθιστα τὰ ἐναντιώτατα, ψυ-
χρὸν θερμῷ, πικρὸν γλυκεῖ, ξηρὸν ὑγρῷ, πάντα τὰ τοιαῦτα·
E τούτοις ἐπιστηθεὶς ἔρωτα ἐμποιῆσαι καὶ ὁμόνοιαν ὁ ἡμέτερος
πρόγονος Ἀσκληπιός, ὥς φασιν οἵδε οἱ ποιηταὶ καὶ ἐγὼ πεί-
θομαι, συνέστησε τὴν ἡμετέραν τέχνην. ἥ τε οὖν ἰατρική,
ὥσπερ λέγω, πᾶσα διὰ τοῦ θεοῦ τούτου κυβερνᾶται, ὡσαύτως
δὲ καὶ γυμναστικὴ [καὶ γεωργία]. μουσικὴ δὲ καὶ παντὶ κατά-
187 δηλος τῷ καὶ σμικρὸν προσέχοντι τὸν νοῦν ὅτι κατὰ ταὐτὰ ἔχει
τούτοις, ὥσπερ ἴσως καὶ Ἡράκλειτος βούλεται λέγειν, ἐπεὶ
τοῖς γε ῥήμασιν οὐ καλῶς λέγει. τὸ ἓν γάρ φησι διαφερόμενον

1 *ἕτερόν τι καὶ* Ioa. Stob. Thierschius spec. crit. p. 14 | *τὸ δ'* C Ioa. Stob. | 3 *ὑγιεῖ νοερὸς* BV *ὑγιεινῷ ἔρως* b | *ἔστιν* V | 4 *τῶν ἀνθρώπων* del. Thierschius spec. crit. p. 14 | 7 *καὶ δὴ* V | 14 *κτήσασθαι* C | 18 *πικρὸν γλυκεῖ* del. Thierschius spec. crit. p. 15 | *καὶ πάντα* Wolfius | 23 *καὶ γεωργία* del. Sauppius | 24 *σμικρὸν ἔχοντι νοῦν* R. B. Hirschigius misc. philol. et paedag. III p. 68 | *ταῦτα* BV | 26 *τὸ ὂν* uel *τὸ πᾶν* Astius

12 *Hippocrat. de morbo sacro p. 344 L.* ὅστις δὲ ἐπίσταται ἐν ἀνθρώποισι τὴν τοιαύτην μεταβολὴν καὶ δύναται ὑγρὸν καὶ ξηρὸν ποιέειν καὶ θερμὸν καὶ ψυχρὸν ὑπὸ διαίτης τὸν ἄνθρωπον, οὗτος καὶ ταύτην τὴν νοῦσον ἰῷτο ἄν. | 16 *Theo Smyrn. mathem. p. 15 B* καὶ τοῦτο τὸ μέγιστον ἔργον θεοῦ κατὰ μουσικήν τε καὶ ἰατρικήν, τὰ ἐχθρὰ φίλα ποιεῖν. | 26 *Plato Soph. p. 242 D* ἰάδες δὲ καὶ σικελαί τινες ὕστερον Μοῦσαι ξυννενοήκασιν, ὅτι συμπλέκειν ἀσφαλέστατον ἀμφότερα καὶ λέγειν, ὡς τὸ ὂν πολλά τε καὶ ἕν ἐστι, ἔχθρᾳ δὲ καὶ φιλίᾳ συνέχεται. διαφερόμενον



αὐτὸ αὑτῷ ξυμφέρεσθαι, ὥσπερ ἁρμονίαν τόξου τε καὶ λύρας.
ἔστι δὲ πολλὴ ἀλογία ἁρμονίαν φάναι διαφέρεσθαι ἢ ἐκ δια-
φερομένων ἔτι εἶναι. ἀλλ' ἴσως τόδε ἐβούλετο λέγειν, ὅτι ἐκ
διαφερομένων πρότερον τοῦ ὀξέος καὶ βαρέος, ἔπειτα ὕστερον B
ὁμολογησάντων γέγονεν ὑπὸ τῆς μουσικῆς τέχνης. οὐ γὰρ δή
που ἐκ διαφερομένων γε ἔτι τοῦ ὀξέος καὶ βαρέος ἁρμονία ἂν
εἴη. ἡ γὰρ ἁρμονία συμφωνία ἐστί, συμφωνία δὲ ὁμολογία τις·
ὁμολογίαν δὲ ἐκ διαφερομένων, ἕως ἂν διαφέρωνται, ἀδύνατον
εἶναι· διαφερόμενον δὲ αὖ καὶ μὴ ὁμολογοῦν ἀδύνατον ἁρμό-
σαι, ὥσπερ γε καὶ ὁ ῥυθμὸς ἐκ τοῦ ταχέος καὶ βραδέος, ἐκ
διενηνεγμένων πρότερον, ὕστερον δὲ ὁμολογησάντων γέγονε. C
τὴν δὲ ὁμολογίαν πᾶσι τούτοις, ὥσπερ ἐκεῖ ἡ ἰατρική, ἐνταῦθα
ἡ μουσικὴ ἐντίθησιν, ἔρωτα καὶ ὁμόνοιαν ἀλλήλων ἐμποιήσασα·
καὶ ἔστιν αὖ μουσικὴ περὶ ἁρμονίαν καὶ ῥυθμὸν ἐρωτικῶν
ἐπιστήμη. καὶ ἐν μέν γε αὐτῇ τῇ συστάσει ἁρμονίας τε καὶ

1 *καὶ ὥσπερ* V | *ἁρμονίαν τοῦ ὀξέος τε καὶ βαρέος* Bastius krit. uers. p. 41 Gladischius ztschr. f. d. alterth. wiss. 1846 p. 961, 1848 p. 217 *ἁρμονίαν τόξου τε καὶ νεύρας* Bergkius zeitschr. f. d. alterth. wiss. 1847 p. 35 | 3 *ἀλλὰ ἴσως* BV | 6 *γε* om. V | 10 *βραδέος διενηνεγμένων* ς | 13 *ἀλλήλοις* C | 15 *αὐτῇ* V

γὰρ ἀεὶ ξυμφέρεται, φασὶν αἱ συντονώτεραι τῶν Μουσῶν. *Aristot. eth. nicom. VIII, 2* Ἡράκλειτος τὸ ἀντίξουν συμφέρον καὶ ἐκ τῶν διαφερόντων καλλίστην ἁρμονίαν καὶ πάντα κατ' ἔριν γίνεσθαι. *de mundo 5* τὸ παρὰ τῷ σκοτεινῷ λεγόμενον Ἡρακλείτῳ 'συνάψειας οὖλα καὶ οὐχὶ οὖλα, συμφερόμενον καὶ διαφερόμενον, συνᾷδον καὶ διᾷδον, καὶ ἐκ πάντων ἕν, καὶ ἐξ ἑνὸς πάντα'. | 1 *Hippolyt. ref. haer. VIIII, 9* Ἡράκλειτος — ἐπιμέμφεται ὧδέ πως 'οὐ ξυνίασιν ὅκως διαφερόμενον ἑωυτῷ ὁμολογέει· παλίντροπος ἁρμονίη ὅκως περ τόξου καὶ λύρης'. *Plut. de Is. et Osir. 45 p. 369 B* παλίντονος γὰρ ἁρμονίη κόσμου ὥσπερ λύρης καὶ τόξου κατὰ Ἡράκλειτον. *de tranq. an. 15 p. 473 F* παλίντροπος γὰρ ἁρμονίη κόσμου ὥσπερ λύρης καὶ τόξου. *de anim. procr. e Tim. 27 p. 1026 B* Ἡράκλειτος δὲ παλίντροπον ἁρμονίην κόσμου ὥσπερ λύρης καὶ τόξου. *Simplic. in Arist. phys. ausc. I f. 11 a* ὡς Ἡράκλειτος τὸ ἀγαθὸν καὶ τὸ κακὸν εἰς ταὐτὸν λέγων συνιέναι δίκην τόξου καὶ λύρας. ὃς καὶ ἐδόκει θέσιν λέγειν διὰ τὸ οὕτως ἀδιορίστως φάναι. ἐνεδείκνυτο δὲ τὴν ἐν τῇ γενέσει ἐναρμόνιον μίξιν τῶν ἐναντίων. *Porphyr. de antro nymph. 29* διὰ τοῦτο παλίντονος ἡ ἁρμονία καὶ τοξεύει διὰ τῶν ἐναντίων. | 5 *Theo Smyrn. math. p. 15 B* καὶ οἱ πυθαγορικοὶ δέ, οἷς πολλαχῇ ἕπεται Πλάτων, τὴν μουσικήν φασιν ἐναντίων συναρμογὴν καὶ τῶν πολλῶν ἕνωσιν καὶ τῶν διχοφρονούντων συμφρόνησιν, οὐ γὰρ ῥυθμῶν μόνον καὶ μέλους συντακτικήν, ἀλλ' ἁπλῶς παντὸς συστήματος.

ῥυθμοῦ οὐδὲν χαλεπὸν τὰ ἐρωτικὰ διαγιγνώσκειν[, οὐδὲ ὁ διπλοῦς ἔρως ἐνταῦθά πως ἔστιν]· ἀλλ' ἐπειδὰν δέῃ πρὸς τοὺς D ἀνθρώπους καταχρῆσθαι ῥυθμῷ τε καὶ ἁρμονίᾳ ἢ ποιοῦντα, ὃ δὴ μελοποιίαν καλοῦσιν, ἢ χρώμενον ὀρθῶς τοῖς πεποιημένοις μέλεσί τε καὶ μέτροις, ὃ δὴ παιδεία ἐκλήθη, ἐνταῦθα δὴ καὶ χαλεπὸν καὶ ἀγαθοῦ δημιουργοῦ δεῖ. πάλιν γὰρ ἥκει ὁ αὐτὸς λόγος, ὅτι τοῖς μὲν κοσμίοις τῶν ἀνθρώπων, καὶ ὡς ἂν κοσμιώτεροι γίγνοιντο οἱ μήπω ὄντες, δεῖ χαρίζεσθαι καὶ φυλάττειν τὸν τούτων ἔρωτα, καὶ οὗτός ἐστιν ὁ καλός, ὁ οὐρά- E νιος, ὁ τῆς Οὐρανίας [μούσης] Ἔρως· ὁ δὲ Πολυμνίας ὁ πάνδημος, ὃν δεῖ εὐλαβούμενον προσφέρειν οἷς ἂν προσφέρῃ, ὅπως ἂν τὴν μὲν ἡδονὴν αὐτοῦ καρπώσηται, ἀκολασίαν δὲ μηδεμίαν ἐμποιήσῃ, ὥσπερ ἐν τῇ ἡμετέρᾳ τέχνῃ μέγα ἔργον ταῖς περὶ τὴν ὀψοποιικὴν τέχνην ἐπιθυμίαις καλῶς χρῆσθαι, ὥστ' ἄνευ νόσου τὴν ἡδονὴν καρπώσασθαι. καὶ ἐν μουσικῇ δὴ καὶ ἐν ἰατρικῇ καὶ ἐν τοῖς ἄλλοις πᾶσι καὶ τοῖς ἀνθρωπείοις καὶ τοῖς θείοις, καθ' ὅσον παρείκει, φυλακτέον ἑκάτερον τὸν Ἔρωτα·
188 ἔνεστον γάρ. ἐπεὶ καὶ ἡ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ σύστασις μεστή ἐστιν ἀμφοτέρων τούτων, καὶ ἐπειδὰν μὲν πρὸς ἄλληλα τοῦ κοσμίου τύχῃ ἔρωτος ἃ νῦν δὴ ἐγὼ ἔλεγον, τά τε θερμὰ καὶ τὰ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρά, καὶ ἁρμονίαν καὶ κρᾶσιν λάβῃ σώφρονα, ἥκει φέροντα εὐετηρίαν τε καὶ ὑγίειαν ἀνθρώποις καὶ τοῖς ἄλλοις ζῴοις τε καὶ φυτοῖς, καὶ οὐδὲν ἠδίκησεν· ὅταν δὲ ὁ μετὰ τῆς ὕβρεως Ἔρως ἐγκρατέστερος περὶ τὰς τοῦ B ἐνιαυτοῦ ὥρας γένηται, διαφθείρει τε πολλὰ καὶ ἠδίκησεν. οἵ τε γὰρ λοιμοὶ φιλοῦσι γίγνεσθαι ἐκ τῶν τοιούτων καὶ ἄλλ' ἄττα [ὅμοια] πολλὰ νοσήματα καὶ τοῖς θηρίοις καὶ τοῖς φυτοῖς· καὶ γὰρ πάχναι καὶ χάλαζαι καὶ ἐρυσῖβαι ἐκ πλεονεξίας καὶ ἀκοσμίας περὶ ἄλληλα τῶν τοιούτων γίγνεται ἐρωτικῶν, ὧν ἐπιστήμη περὶ ἄστρων τε φορὰς καὶ ἐνιαυτῶν ὥρας ἀστρονομία

1 οὐδὲ — ἔστιν del. Schuetzius opp. p. 121 | 10 μούσης del. Sauppius | 13 μέγα ἐργῶντες περὶ BV corr. b | 17 παρήκει BV | 18 ἐπεὶ — p. 27, 16 θεοῖς l. Ioa. Stob. ecl. phys. I, 9. 16 | ξύστασις Ioa. Stob. | 26 ἄλλ' ἄττα ὅμοια Astius: ἄλλ' ἀνόμοια BCV Ioa. Stob. ἄλλ' ἂν ὅμοια Orellius ad Isocr. de permut. p. 330 ἄλλ' αὖ ὅμοια Hermannus ἄλλα δὴ ὅμοια Sauppius ἄλλ' ἀνθρώποις καὶ ὅμοια Pflugkius sched. crit. p. 14 ἄλλα ἄνομα Sommerus n. iahrb. f. phil. XIIII p. 70 ἄλλα παντοῖα Reyndersius Winckelmannus ἄλλ' ἀνήνυτα Stallbaumius | 28 ἐρυσίβαι BC | 29 γίγνεται del. Sauppius | ὧν — καλεῖται del. Schuetzius opp. p. 122 | 30 καὶ ἐνιαυτῶν ὥρας del. Bastius krit. uers. p. 45 | ἐνιαυτῶν ὅρους Creuzerus fr. hist. gr. p. 124

28 *Tim.* ἐρυσίβη· μιλτώδης δρόσος· πάχνη δὲ δρόσος χιονώδης.



καλεῖται. ἔτι τοίνυν καὶ θυσίαι πᾶσαι καὶ οἷς μαντικὴ ἐπιστατεῖ — ταῦτα δ' ἐστὶν ἡ περὶ θεούς τε καὶ ἀνθρώπους πρὸς C ἀλλήλους κοινωνία — οὐ περὶ ἄλλο τί ἐστιν ἢ περὶ Ἔρωτος φυλακήν τε καὶ ἴασιν. πᾶσα γὰρ ἡ ἀσέβεια φιλεῖ γίγνεσθαι, ἐὰν μή τις τῷ κοσμίῳ Ἔρωτι χαρίζηται μηδὲ τιμᾷ τε αὐτὸν καὶ πρεσβεύῃ ἐν παντὶ ἔργῳ, ἀλλὰ τὸν ἕτερον, καὶ περὶ γονέας καὶ ζῶντας καὶ τετελευτηκότας καὶ περὶ θεούς· ἃ δὴ προστέτακται τῇ μαντικῇ ἐπισκοπεῖν [τοὺς Ἔρωτας] καὶ ἰατρεύειν, καὶ ἔστιν αὖ ἡ μαντικὴ φιλίας θεῶν καὶ ἀνθρώπων δημιουρ- D γὸς τῷ ἐπίστασθαι τὰ κατ' ἀνθρώπους ἐρωτικά, ὅσα τείνει πρὸς θέμιν καὶ εὐσέβειαν. οὕτω πολλὴν καὶ μεγάλην, μᾶλλον δὲ πᾶσαν δύναμιν ἔχει ξυλλήβδην μὲν ὁ πᾶς Ἔρως, ὁ δὲ περὶ τἀγαθὰ μετὰ σωφροσύνης καὶ δικαιοσύνης ἀποτελούμενος, καὶ παρ' ἡμῖν καὶ παρὰ θεοῖς οὗτος τὴν μεγίστην δύναμιν ἔχει καὶ πᾶσαν ἡμῖν εὐδαιμονίαν παρασκευάζει καὶ ἀλλήλοις δυναμένους ὁμιλεῖν καὶ φίλους εἶναι καὶ τοῖς κρείττοσιν ἡμῶν θεοῖς. ἴσως μὲν οὖν καὶ ἐγὼ τὸν ἔρωτα ἐπαινῶν πολλὰ παραλείπω, E οὐ μέντοι ἑκών γε. ἀλλ' εἴ τι ἐξέλιπον, σὸν ἔργον, ὦ Ἀριστόφανες, ἀναπληρῶσαι· ἢ εἴ πως ἄλλως ἐν νῷ ἔχεις ἐγκωμιάζειν τὸν θεόν, ἐγκωμίαζε, ἐπειδὴ καὶ τῆς λυγγὸς πέπαυσαι.

Ἐκδεξάμενον οὖν ἔφη εἰπεῖν τὸν Ἀριστοφάνη ὅτι Καὶ 189
μάλ' ἐπαύσατο, οὐ μέντοι πρίν γε τὸν πταρμὸν προσενεχθῆναι αὐτῇ, ὥστε με θαυμάζειν, εἰ τὸ κόσμιον τοῦ σώματος ἐπιθυμεῖ τοιούτων ψόφων καὶ γαργαλισμῶν, οἷον καὶ ὁ πταρμός ἐστι· πάνυ γὰρ εὐθὺς ἐπαύσατο, ἐπειδὴ αὐτῷ τὸν πταρμὸν προσήνεγκα. καὶ τὸν Ἐρυξίμαχον, Ὦ 'γαθέ, φάναι, [Ἀριστόφανες,] ὅρα τί ποιεῖς. γελωτοποιεῖς μέλλων λέγειν καὶ φύλακά με τοῦ λόγου ἀναγκάζεις γίγνεσθαι τοῦ σεαυτοῦ, ἐάν τι γελοῖον B εἴπῃς, ἐξόν σοι ἐν εἰρήνῃ λέγειν· καὶ τὸν Ἀριστοφάνη γελάσαντα εἰπεῖν Εὖ λέγεις, ὦ Ἐρυξίμαχε, καί μοι ἔστω ἄρρητα τὰ εἰρημένα. ἀλλὰ μή με φύλαττε, ὡς ἐγὼ φοβοῦμαι περὶ

1 αἱ θυσίαι ἅπασαι C | 2 ταῦτα — κοινωνία del. Schuetzius opp. p. 123 | 6 πρεσβεύῃ μὲν Pflugkius sched. crit. p. 10 | ἀλλὰ τὸν ἕτερον Ioa. Stob.: ἀλλὰ περὶ τὸν ἕτερον BVC ἀλλὰ περιττῶς τὸν ἕτερον Kochius ad Antonin. Lib. p. 132 ἀλλὰ περιττότερον Pflugkius ἀλλὰ θεραπεύῃ τὸν ἕτερον Winckelmannus ad Phileb. p. XII | 7 προτέτακται C | 8 τοὺς Ἔρωτας del. Hermannus τοὺς ἐρῶντας Ioa. Stob. | 10 κατὰ V | τίνι Ioa. Stob. | 11 εὐσέβειαν Ioa. Stob.: ἀσέβειαν BVC | 15 δυναμένοις — φίλοις ς Ioa. Stob. | 16 εἶναι τοῖς Rueckertus | 22 ἐπαύσαντο V | 23 αὐτῆι b ηι in ras. | 26 Ἀριστόφανες del. Sauppius: ὠγαθέ, φάναι, ὠγαθὲ Ἀριστόφανες BV

24 *schol. B* γαργαλισμῶν· σημ. διὰ σύνταξιν.

τῶν μελλόντων ῥηθήσεσθαι, οὔ τι μὴ γελοῖα εἴπω, τοῦτο μὲν
γὰρ ἂν κέρδος εἴη καὶ τῆς ἡμετέρας μούσης ἐπιχώριον, ἀλλὰ
μὴ καταγέλαστα. Βαλών γε, φάναι, ὦ Ἀριστόφανες, οἴει ἐκ-
C φεύξεσθαι; ἀλλὰ πρόσεχε τὸν νοῦν καὶ οὕτω λέγε ὡς δώσων
λόγον· ἴσως μέντοι, ἂν δόξῃ μοι, ἀφήσω σε.

Καὶ μήν, ὦ Ἐρυξίμαχε, εἰπεῖν τὸν Ἀριστοφάνη, ἄλλῃ γέ 14
πῃ ἐν νῷ ἔχω λέγειν, ἢ ᾗ σύ τε καὶ Παυσανίας εἰπέτην. ἐμοὶ
γὰρ δοκοῦσιν ἄνθρωποι παντάπασι τὴν τοῦ ἔρωτος δύναμιν
οὐκ ᾐσθῆσθαι, ἐπεὶ αἰσθανόμενοί γε μέγιστ' ἂν αὐτοῦ ἱερὰ
κατασκευάσαι καὶ βωμούς, καὶ θυσίας ἂν ποιεῖν μεγίστας, οὐχ
ὥσπερ νῦν τούτων οὐδὲν γίγνεται περὶ αὐτόν, δέον πάντων
D μάλιστα γίγνεσθαι. ἔστι γὰρ θεῶν φιλανθρωπότατος, ἐπίκου-
ρός τε ὢν τῶν ἀνθρώπων καὶ ἰατρὸς τούτων, ὧν ἰαθέντων
μεγίστη εὐδαιμονία ἂν τῷ ἀνθρωπείῳ γένει εἴη. ἐγὼ οὖν πει-
ράσομαι ὑμῖν εἰσηγήσασθαι τὴν δύναμιν αὐτοῦ, ὑμεῖς δὲ τῶν
ἄλλων διδάσκαλοι ἔσεσθε. δεῖ δὲ πρῶτον ὑμᾶς μαθεῖν τὴν
ἀνθρωπίνην φύσιν καὶ τὰ παθήματα αὐτῆς. ἡ γὰρ πάλαι ἡμῶν
φύσις οὐχ αὕτη ἦν, ἥπερ νῦν, ἀλλ' ἀλλοία. πρῶτον μὲν γὰρ
τρία ἦν τὰ γένη τὰ τῶν ἀνθρώπων, οὐχ ὥσπερ νῦν δύο, ἄρρεν
E καὶ θῆλυ, ἀλλὰ καὶ τρίτον προσῆν κοινὸν ὂν ἀμφοτέρων τού-
των, οὗ νῦν ὄνομα λοιπόν, αὐτὸ δὲ ἠφάνισται· ἀνδρόγυνον γὰρ
τότε μὲν ἦν καὶ εἶδος καὶ ὄνομα ἐξ ἀμφοτέρων κοινὸν τοῦ τε
ἄρρενος καὶ θήλεος, νῦν δ' οὐκ ἔστιν ἀλλ' ἢ ἐν ὀνείδει ὄνομα
κείμενον. ἔπειτα ὅλον ἦν ἑκάστου τοῦ ἀνθρώπου τὸ εἶδος
στρογγύλον, νῶτον καὶ πλευρὰς κύκλῳ ἔχον, χεῖρας δὲ τέττα-
ρας εἶχε, καὶ σκέλη τὰ ἴσα ταῖς χερσί, καὶ πρόσωπα δύ' ἐπ'
190 αὐχένι κυκλοτερεῖ, ὅμοια πάντῃ· κεφαλὴν δ' ἐπ' ἀμφοτέροις
τοῖς προσώποις ἐναντίοις κειμένοις μίαν καὶ ὦτα τέτταρα καὶ
αἰδοῖα δύο καὶ τἆλλα πάντα ὡς ἀπὸ τούτων ἄν τις εἰκάσειεν.
ἐπορεύετο δὲ καὶ ὀρθὸν ὥσπερ νῦν ὁποτέρωσε βουληθείη, καὶ

1 ἡττηθήσεσθαι BV | 4 οὔτως BC | 7 η η B ἦ ᾗ b | 8 ἄνθρωποι Bekkerus: ἄνθρωποι BVC οἱ ἄνθρωποι ϛ | παντάπασι post ἔρωτος C | 16 δεῖ — 23 θήλεος l. Eusebius praep. euang. XII, 12 | 17 ἡ γὰρ — p. 32, 28 αἰνίττεται l. Ioa. Stob. flor. LXIII, 35 | 18 οὐχ αὐτὴ V οὐχ ἡ αὐτὴ Bekkerus | 21 οὗ νῦν — 24 κείμενον del. R. B. Hirschigius ztschr. f. d. alterth. wiss. 1851 p. 329 | γὰρ τότε Ioa. Stob. Euseb.: γὰρ ἓν τότε BVC | 23 νῦν δὲ V | ἀλλὴ ἓν ὂν εἴδει BV | 28 κειμένοις del. Ioa. Stob.

3 *Zenob. II, 71* βαλὼν φεύξεσθαι οἴει· πρὸς τοὺς κακόν τι δράσαντας καὶ οἰομένους φυγεῖν.



ὁπότε ταχὺ ὁρμήσειε θεῖν, ὥσπερ οἱ κυβιστῶντες εἰς ὀρθὸν
τὰ σκέλη περιφερόμενοι [κυβιστῶσι κύκλῳ], ὀκτὼ τότε οὖσι
μέλεσιν ἀπερειδόμενοι ταχὺ ἐφέροντο κύκλῳ. ἦν δὲ διὰ ταῦτα
τρία τὰ γένη καί τοιαῦτα, ὅτι τὸ μὲν ἄρρεν ἦν τοῦ ἡλίου τὴν B
ἀρχὴν ἔκγονον, τὸ δὲ θῆλυ τῆς γῆς, τὸ δὲ ἀμφοτέρων μετέχον
τῆς σελήνης[, ὅτι καὶ ἡ σελήνη ἀμφοτέρων μετέχει]· περιφερῆ
δὲ δὴ ἦν καὶ αὐτὰ καὶ ἡ πορεία αὐτῶν διὰ τὸ τοῖς γονεῦσιν
ὅμοια εἶναι. ἦν οὖν τὴν ἰσχὺν δεινὰ καὶ τὴν ῥώμην καὶ τὰ
φρονήματα μεγάλα εἶχον. ἐπεχείρησαν δὲ τοῖς θεοῖς, καὶ ὃ
λέγει Ὅμηρος περὶ Ἐφιάλτου τε καὶ Ὤτου, περὶ ἐκείνων λέγε-
ται, τὸ εἰς τὸν οὐρανὸν ἀνάβασιν ἐπιχειρεῖν ποιεῖν, ὡς ἐπιθη- C
15 σομένων τοῖς θεοῖς. ὁ οὖν Ζεὺς καὶ οἱ ἄλλοι θεοὶ ἐβουλεύ-
οντο, ὅ τι χρὴ αὐτοὺς ποιῆσαι, καὶ ἠπόρουν· οὔτε γὰρ ὅπως
ἀποκτείναιεν εἶχον καὶ ὥσπερ τοὺς γίγαντας κεραυνώσαντες τὸ
γένος ἀφανίσαιεν — αἱ τιμαὶ γὰρ αὐτοῖς καὶ ἱερὰ τὰ παρὰ τῶν
ἀνθρώπων ἠφανίζετο — οὔθ' ὅπως ἐῷεν ἀσελγαίνειν. μόγις
δὴ ὁ Ζεὺς ἐννοήσας λέγει ὅτι Δοκῶ μοι, ἔφη, ἔχειν μηχανήν,
ὡς ἂν εἶέν τε ἄνθρωποι καὶ παύσαιντο τῆς ἀκολασίας ἀσθενέ-
στεροι γενόμενοι. νῦν μὲν γὰρ αὐτούς, ἔφη, διατεμῶ δίχα ἕκα-
στον· καὶ ἅμα μὲν ἀσθενέστεροι ἔσονται ἅμα δὲ χρησιμώτεροι D

1 ὁρμήσειεν ἐλθεῖν C ὁρμήσειε θεῖν in ras. B | καὶ εἰς BVC Ioa. Stob. καὶ om. ϛ | ὀρθὰ ὄντα σκέλη Ioa. Stob. | 2 κυβιστῶσι κύκλῳ del. Sauppius | τότε ὀκτὼ C | 3 ἅπερ εἴδομεν αι BV corr. b | 5 τὸ δ' C | 10 ἐφιάντου V | 15 καὶ τὰ ἱερὰ Ioa. Stob. | 16 οὔτε V

1 *schol.* κυβιστὴρ ὁ ὀρχηστής, καὶ κυβιστᾶν τὸ ὀρχεῖσθαι. | 4 *Procl. in Plat. Tim. p. 326 C* οὕτω δὴ καὶ σεληνιακὴν ψυχὴν εἰς ἀνδρὸς κατιέναι φύσιν, καθὰ τὴν Μουσαίου φασί, καὶ ἀπολλωνιακὴν ⟨l. ἡλιακὴν⟩ εἰς γυναικός, καθάπερ ἱστοροῦσι τὴν Σίβυλλαν. καὶ δηλοῖ τὸ μὲν διῃρῆσθαι καὶ ἐκείνας κατὰ τὸ ἄρρεν καὶ θῆλυ καὶ τὸ κοινὸν ἐκ τούτων ὁ τοῦ Ἀριστοφάνους ἐν συμποσίῳ μῦθος ⟨cf. p. 329 B⟩. *Hermias in Plat. Phaedr. p. 80* ἐπεὶ οὖν οἱ θεολόγοι εἰς ἄρρεν καὶ θῆλυ διαιροῦσι τοὺς θεοὺς καὶ τῶν ψυχῶν αἱ μὲν τοῖσδε, αἱ δὲ τοῖσδε προσήκουσι τῶν θεῶν, ὡς ἐν συμποσίῳ εἴρηκεν ἐν τῷ Ἀριστοφάνους. | 10 *Hom. Od. λ, 308* Ὦτόν τ' ἀντίθεον τηλέκλειτόν τ' Ἐφιάλτην, — 313 οἵ ῥα καὶ ἀθανάτοισιν ἀπειλήτην ἐν Ὀλύμπῳ φυλόπιδα στήσειν πολυάικος πολέμοιο. | *Musonius Ioa. Stob. flor. LXVII, 20* ἐπεὶ τοῦ χάριν ὁ τοῦ ἀνθρώπου δημιουργὸς πρῶτον μὲν ἔτεμε δίχα τὸ γένος ἡμῶν εἶτ' ἐποίησεν αὐτῷ διττὰ αἰδοῖα, τὸ μὲν εἶναι θήλεος τὸ δὲ ἄρρενος, εἶτα δὲ ἐνεποίησεν ἐπιθυμίαν ἰσχυρὰν ἑκατέρῳ θατέρου τῆς θ' ὁμιλίας καὶ τῆς κοινωνίας καὶ πόθον ἰσχυρὸν ἀμφοῖν ἀλλήλων ἐνεκέρασεν, τῷ μὲν ἄρρενι τοῦ θήλεος, τῷ δὲ θήλει τοῦ ἄρρενος; ἆρ' οὖν οὐ γνώριμον, ὅτι

ἡμῖν διὰ τὸ πλείους τὸν ἀριθμὸν γεγονέναι, καὶ βαδιοῦνται
ὀρθοὶ ἐπὶ δυοῖν σκελοῖν. ἐὰν δ' ἔτι δοκῶσιν ἀσελγαίνειν καὶ
μὴ θέλωσιν ἡσυχίαν ἄγειν, πάλιν αὖ, ἔφη, τεμῶ δίχα, ὥστ' ἐφ'
ἑνὸς πορεύσονται σκέλους ἀσκωλίζοντες. ταῦτα εἰπὼν ἔτεμνε
τοὺς ἀνθρώπους δίχα, ὥσπερ οἱ τὰ ὄα τέμνοντες καὶ μέλλον-
E τες ταριχεύειν[, ἢ ὥσπερ τὰ ὠὰ ταῖς θριξίν]· ὅντινα δὲ τέμοι,
τὸν Ἀπόλλω ἐκέλευε τό τε πρόσωπον μεταστρέφειν [καὶ τὸ
τοῦ αὐχένος ἥμισυ] πρὸς τὴν τομήν, ἵνα θεώμενος τὴν αὑτοῦ
τμῆσιν κοσμιώτερος εἴη ὁ ἄνθρωπος, καὶ τἆλλα ἰᾶσθαι ἐκέ-
λευεν. ὁ δὲ τό τε πρόσωπον μετέστρεφε καὶ συνέλκων παν-
ταχόθεν τὸ δέρμα ἐπὶ τὴν γαστέρα νῦν καλουμένην, ὥσπερ τὰ
σύσπαστα βαλάντια, ἓν στόμα ποιῶν ἀπέδει κατὰ μέσην τὴν
γαστέρα, ὃ δὴ τὸν ὀμφαλὸν καλοῦσι. καὶ τὰς μὲν ἄλλας ῥυτί-
191 δας τὰς πολλὰς ἐξελέαινε καὶ τὰ στήθη διήρθρου, ἔχων τι τοι-
οῦτον ὄργανον οἷον οἱ σκυτοτόμοι περὶ τὸν καλάποδα λεαί-
νοντες τὰς τῶν σκυτῶν ῥυτίδας· ὀλίγας δὲ κατέλιπε, τὰς περὶ
αὐτὴν τὴν γαστέρα καὶ τὸν ὀμφαλόν, μνημεῖον εἶναι τοῦ πα-

1 καὶ om. C | 3 ἐθέλωσιν C | 4 ἑνῶς V | ταῦτ' C | ἔτεμνε — 6 θριξίν l. Eusebius praep. euang. XII. 12 | 5 ὥσπερ — ταριχεύσειν l. Photius Suidas ταριχεύειν | ὄα Ruhnkenius ad Tim. p. 189 Toupius emend. in Suid. et Hesych. II p. 231: ὠὰ BVC Photius Suid. Ioa. Stob. ὦτα Eusebius | 6 ταριχεύσειν Phot. Suid. | ἢ — θριξίν del. Sydenhamius | οἱ τὰ C Ioa. Stob. Eusebius | θριξὶν διαιροῦντες Toupius | 7 ἐκέλευσε V | καὶ — ἥμισυ del. Sauppius | μεταστρέφειν ἀπὸ τοῦ C | 8 αὐτοῦ BC Ioa. Stob. | 9 ἐκέλευσεν V | 12 βάλλοντα BV corr. b | ἔνστομα V | 13 τὸν del. Hommelius | 15 ὄργανον del. Creuzerus ad Plotin. de pulchr. p. 525 | καλάποδα Pollux: καλόποδα BV καλώποδα C

ἐβούλετο συνεῖναί τε αὐτῷ καὶ συζῆν καὶ τὰ πρὸς τὸν βίον ἀλλήλοιν συμμηχανᾶσθαι καὶ γένεσιν παίδων καὶ τροφὴν ποιεῖσθαι, ὡς ἂν τὸ γένος ἡμῶν ἀΐδιον ᾖ. | 4 *schol.* ἀσκωλιάζειν κυρίως μὲν τὸ ἐπὶ τοὺς ἀσκοὺς ἅλλεσθαι ἀληλιμμένους, ἐφ' οὓς ἐπήδων γελοίου ἕνεκα ⟨eadem Hesych. ἀσκωλιάζειν⟩. τινὲς δὲ καὶ ἐπὶ τῶν συμπεφυκόσι τοῖς σκέλεσιν ἁλλομένων. ἤδη δὲ τιθέασι καὶ ἐπὶ τοῦ ἅλλεσθαι τὸ νεῦρον ⟨τὸν ἕτερον Bekkerus⟩ τῶν ποδῶν ἀνέχοντα, ἢ ὡς νῦν, ἐπὶ σκέλους ἑνὸς βαίνοντα. ἔστι δὲ καὶ τὸ χωλαίνειν. *Tim. Suid.* ἀσκωλίζοντες· ἐφ' ἑνὸς ποδὸς ἐφαλλόμενοι, ἢ στερούμενοι ⟨ὑστερούμενοι Suid.⟩ τῶν κατὰ φύσιν. *Hesych.* ἀσκωλίζοντες· ἐφ' ἑνὸς ποδὸς ἁλλόμενοι. | 5 *Pollux VI, 79* ἦν δὲ τρωγάλια κάρυα μυρτίδες μέσπιλα, ἃ καὶ ὄα καλεῖται· καὶ τοὔνομα ἔστι παρὰ Πλάτωνι τοῦτο, ὡς παρ' Ἀρχιλόχῳ ἐκεῖνο. *Tim. Phot. Suid.* ὄα· ἀκροδρύων εἶδος μήλοις μικροῖς ἐμφερές. | 6 *Phot. Suid.* ταριχεύειν· ταριχεύσειν. 'ὥσπερ — ταριχεύσειν'. σημαίνει δὲ καὶ τὸ ξηραίνειν. | 15 *Pollux. X, 141* σκυτοτόμου δὲ σκεύη — καὶ καλάπους ἐν τῷ συμποσίῳ.



λαιοῦ πάθους. ἐπειδὴ οὖν ἡ φύσις δίχα ἐτμήθη, ποθοῦν ἕκα-
στον τὸ ἥμισυ τὸ αὑτοῦ ξυνεῖναι, καὶ περιβάλλοντες τὰς
χεῖρας καὶ συμπλεκόμενοι ἀλλήλοις, ἐπιθυμοῦντες συμφῦναι,
ἀπέθνησκον ὑπὸ λιμοῦ καὶ τῆς ἄλλης ἀργίας διὰ τὸ μηδὲν B
ἐθέλειν χωρὶς ἀλλήλων ποιεῖν. καὶ ὁπότε τι ἀποθάνοι τῶν
ἡμίσεων, τὸ δὲ λειφθείη, τὸ λειφθὲν ἄλλο ἐζήτει καὶ συνεπλέ-
κετο, εἴτε γυναικὸς τῆς ὅλης ἐντύχοι ἡμίσει, ὃ δὴ νῦν γυναῖκα
καλοῦμεν, εἴτ' ἀνδρός· καὶ οὕτως ἀπώλλυντο. ἐλεήσας δὲ ὁ
Ζεὺς ἄλλην μηχανὴν πορίζεται καὶ μετατίθησιν αὐτῶν τὰ αἰ-
δοῖα εἰς τὸ πρόσθεν· τέως γὰρ καὶ ταῦτα ἐκτὸς εἶχον καὶ ἐγέν-
νων καὶ ἔτικτον οὐκ εἰς ἀλλήλους ἀλλ' εἰς γῆν ὥσπερ οἱ τέτ- C
τιγες. μετέθηκέ τε οὖν οὕτω [αὐτῶν εἰς τὸ πρόσθεν] καὶ διὰ
τούτων τὴν γένεσιν ἐν ἀλλήλοις ἐποίησε [διὰ τοῦ ἄρρενος ἐν
τῷ θήλει] τῶνδε ἕνεκα, ἵνα ἐν τῇ συμπλοκῇ ἅμα μὲν εἰ ἀνὴρ
γυναικὶ ἐντύχοι, γεννῷεν καὶ γίγνοιτο τὸ γένος, ἅμα δ' εἰ καὶ
ἄρρην ἄρρενι, πλησμονὴ γοῦν γίγνοιτο τῆς συνουσίας καὶ δια-
παύοιντο καὶ ἐπὶ τὰ ἔργα τρέποιντο καὶ τοῦ ἄλλου βίου ἐπι-
μελοῖντο. ἔστι δὴ οὖν ἐκ τόσου ὁ ἔρως ἔμφυτος ἀλλήλων τοῖς D
ἀνθρώποις καὶ τῆς ἀρχαίας φύσεως συναγωγεὺς καὶ ἐπιχειρῶν
ποιῆσαι ἓν ἐκ δυοῖν καὶ ἰάσασθαι τὴν φύσιν τὴν ἀνθρωπίνην.
16 ἕκαστος οὖν ἡμῶν ἐστιν ἀνθρώπου ξύμβολον, ἅτε τετμημένος
ὥσπερ αἱ ψῆτται, ἐξ ἑνὸς δύο. ζητεῖ δὴ ἀεὶ τὸ αὑτοῦ ἕκαστος
ξύμβολον. ὅσοι μὲν οὖν τῶν ἀνδρῶν τοῦ κοινοῦ τμῆμά εἰσιν,
ὃ δὴ τότε ἀνδρόγυνον ἐκαλεῖτο, φιλογύναικές τ' εἰσὶ καὶ οἱ
πολλοὶ τῶν μοιχῶν ἐκ τούτου τοῦ γένους γεγόνασι, καὶ ὅσαι E
αὖ γυναῖκες φίλανδροί τε καὶ μοιχεύτριαι, ἐκ τούτου τοῦ γένους

1 ἐπειδὴ — 3 συμφῦναι l. Priscian. XVII, 159 p. 1100 | 2 τὸ ἥμισύ τε ξυνήει Priscianus | ξυνήει C Ioa. Stob. | 3 ξυμφῦναι Ioa. Stob. Priscianus | 4 ὑπὸ τοῦ λιμοῦ C Ioa. Stob. ὑπὸ τῆς λιμοῦ ς | 6 τόδε B τὸ δὲ b | ξυνεπλέκετο Ioa. Stob. | 8 εἶτε V | ἀπόλλυντο BV corr. b | 12 δὲ Astius | αὐτῶν del. Rueckertus | αὐτὰ ς | 13 γένεσιν νέαν ἀλλήλοις Ioa. Stob. | 15 σῶν γίγνοιτο uel ἔτι γίγνοιτο Rueckertus | ὁ γόνος Hommelius | 16 ἄρρεν ς Ioa. Stob. | 19 συναγωγὸς Ioa. Stob. | 21 ἡμῶν om. V | 22 αἰεὶ BV | αὐτοῦ C | ἕκαστον BV | 24 τε VC

1 *Philo de opif. mundi I, 53 p. 36* ἔρως δ' ἐπιγενόμενος καθάπερ ἑνὸς ζώου διττὰ τμήματα διεστηκότα συναγαγὼν εἰς ταὐτὸν ἁρμόττεται, πόθον ἐνιδρυσάμενος ἑκατέρῳ τῆς πρὸς θάτερον κοινωνίας εἰς τὴν τοῦ ὁμοίου γένεσιν. | 22 *schol.* ἰχθύδιόν τι τῶν πλατέων ἡ ψῆττα, ἐκ δύο δερμάτων συγκεῖσθαι τὴν ἰδέαν δοκοῦν, ὅ τινες σανδάλιον καλοῦσιν, οἱ δὲ βούγλωσσον ⟨eadem fere Suidas ψῆττα⟩· κακῶς δέ· ἄλλα γάρ ἐστι ταῦτα. *Tim. Phot. Suid.* ψίτται· ἰχθύων εἶδος ⟨γένος Suid.⟩.

γίγνονται. ὅσαι δὲ τῶν γυναικῶν γυναικὸς τμῆμά εἰσιν, οὐ πάνυ αὗται τοῖς ἀνδράσι τὸν νοῦν προσέχουσιν, ἀλλὰ μᾶλλον πρὸς τὰς γυναῖκας τετραμμέναι εἰσί, καὶ αἱ ἑταιρίστριαι ἐκ τούτου τοῦ γένους γίγνονται. ὅσοι δὲ ἄρρενος τμῆμά εἰσι, τὰ ἄρρενα διώκουσι, καὶ ἕως μὲν ἂν παῖδες ὦσιν, ἅτε τεμάχια ὄντα τοῦ ἄρρενος, φιλοῦσι τοὺς ἄνδρας καὶ χαίρουσι συγκατακείμενοι
192 καὶ συμπεπλεγμένοι τοῖς ἀνδράσι, καί εἰσιν οὗτοι οἱ βέλτιστοι τῶν παίδων καὶ μειρακίων, ἅτε ἀνδρειότατοι ὄντες φύσει. φασὶ δὲ δή τινες αὐτοὺς ἀναισχύντους εἶναι, ψευδόμενοι· οὐ γὰρ ὑπ' ἀναισχυντίας τοῦτο δρῶσιν, ἀλλ' ὑπὸ θάρρους καὶ ἀνδρείας καὶ ἀρρενωπίας, τὸ ὅμοιον αὐτοῖς ἀσπαζόμενοι. μέγα δὲ τεκμήριον· καὶ γὰρ τελεωθέντες μόνοι ἀποβαίνουσιν εἰς τὰ πολιτικὰ ἄνδρες οἱ τοιοῦτοι. ἐπειδὰν δὲ ἀνδρωθῶσι, παιδεραστοῦσι καὶ
B πρὸς γάμους καὶ παιδοποιίας οὐ προσέχουσι τὸν νοῦν φύσει, [ἀλλὰ ὑπὸ τοῦ νόμου ἀναγκάζονται·] ἀλλ' ἐξαρκεῖ αὐτοῖς μετ' ἀλλήλων καταζῆν ἀγάμοις. πάντως μὲν οὖν ὁ τοιοῦτος παιδεραστής τε καὶ φιλεραστὴς γίγνεται, ἀεὶ τὸ ξυγγενὲς ἀσπαζόμενος. ὅταν μὲν οὖν καὶ αὐτῷ ἐκείνῳ ἐντύχῃ τῷ αὑτοῦ ἡμίσει καὶ ὁ παιδεραστὴς καὶ ἄλλος πᾶς, τότε καὶ θαυμαστὰ ἐκπλήτ-
C τονται φιλίᾳ τε καὶ οἰκειότητι καὶ ἔρωτι, οὐκ ἐθέλοντες, ὡς ἔπος εἰπεῖν, χωρίζεσθαι ἀλλήλων οὐδὲ σμικρὸν χρόνον. καὶ οἱ διατελοῦντες μετ' ἀλλήλων διὰ βίου οὗτοί εἰσιν, οἳ οὐδ' ἂν ἔχοιεν εἰπεῖν ὅ τι βούλονται σφίσι παρ' ἀλλήλων γίγνεσθαι. οὐδὲ γὰρ ἂν δόξειε τοῦτ' εἶναι ἡ τῶν ἀφροδισίων συνουσία, ὡς ἄρα τούτου ἕνεκα ἕτερος ἑτέρῳ χαίρει ξυνὼν οὕτως ἐπὶ μεγάλης σπουδῆς· ἀλλ' ἄλλο τι βουλομένη ἑκατέρου ἡ ψυχὴ δήλη
D ἐστίν, ὃ οὐ δύναται εἰπεῖν, ἀλλὰ μαντεύεται ὃ βούλεται καὶ αἰνίττεται. καὶ εἰ αὐτοῖς ἐν τῷ αὐτῷ κατακειμένοις ἐπιστὰς ὁ Ἥφαιστος, ἔχων τὰ ὄργανα, ἔροιτο 'τί ἔσθ' ὃ βούλεσθε, ὦ ἄνθρωποι, ὑμῖν παρ' ἀλλήλων γενέσθαι'; καὶ εἰ ἀποροῦντας αὐτοὺς πάλιν ἔροιτο 'ἆρά γε τοῦδε ἐπιθυμεῖτε, ἐν τῷ αὐτῷ

5 ἕως Astius: τέως BVC Ioa. Stob. | τεμάχια om. Ioa. Stob. τεμμάχια C | 7 συμπλεκόμενοι V | οὗτοι οἱ R. B. Hirschigius: ουτοι BVC | 8 μειρακείων V | 10 ἀνδρίας BV | 11 ἀρρενοπίας V | αὑτοῖς ς | 15 ἀλλ' V | ἀλλ' ἀναγκάζονται ὑπὸ τοῦ νόμου C | 17 αἰεὶ B ἀεὶ b | 18 ὅτ' ἂν BVC | ὅταν μέντοι Sauppius | αὐτοῦ VC | 24 οὐδὲν VC οὐδενὶ Ioa. Stob. | δόξειεν V | 25 χαίρειν BV | ξυνῶν V | 27 ἐνίττεται V | 31 ἄρά γε V

3 *Tim. Phot. Suid.* ἑταιρίστριαι· αἱ καλούμεναι τριβάδες. *Hesych.* ἑταιρίστριαι· τριβάδες. *Hesych.* διεταρίστριαι ⟨αἱ ἑταιρίστριαι Ruhnkenius ad Tim. p. 124⟩ γυναῖκες αἱ τετραμμέναι πρὸς τὰς ἑταίρας ἐπὶ συνουσίᾳ, ὡς οἱ ἄνδρες. οἷον τριβάδες.



γενέσθαι ὅ τι μάλιστα ἀλλήλοις, ὥστε καὶ νύκτα καὶ ἡμέραν μὴ ἀπολείπεσθαι ἀλλήλων; εἰ γὰρ τούτου ἐπιθυμεῖτε, ἐθέλω ὑμᾶς συντῆξαι καὶ συμφυσῆσαι εἰς ταὐτό, ὥστε δύ' ὄντας ἕνα E
γεγονέναι καὶ ἕως τ' ἂν ζῆτε ὡς ἕνα ὄντα κοινῇ ἀμφοτέρους ζῆν, καὶ ἐπειδὰν ἀποθάνητε, ἐκεῖ αὖ ἐν Ἅιδου ἀντὶ δυοῖν ἕνα εἶναι κοινῇ τεθνεῶτε· ἀλλ' ὁρᾶτε εἰ τούτου ἐρᾶτε καὶ ἐξαρκεῖ ὑμῖν ἂν τούτου τύχητε'· ταῦτ' ἀκούσας ἴσμεν ὅτι οὐδ' ἂν εἷς ἐξαρνηθείη οὐδ' ἄλλο τι ἂν φανείη βουλόμενος, ἀλλ' ἀτεχνῶς οἴοιτ' ἂν ἀκηκοέναι τοῦτο ὃ πάλαι ἄρα ἐπεθύμει, συνελθὼν καὶ συντακεὶς τῷ ἐρωμένῳ ἐκ δυεῖν εἷς γενέσθαι. τοῦτο γάρ ἐστι τὸ αἴτιον, ὅτι ἡ ἀρχαία φύσις ἡμῶν ἦν αὕτη καὶ ἦμεν ὅλοι· τοῦ ὅλου οὖν τῇ ἐπιθυμίᾳ καὶ διώξει ἔρως ὄνομα. καὶ 193
πρὸ τοῦ, ὥσπερ λέγω, ἓν ἦμεν· νυνὶ δὲ διὰ τὴν ἀδικίαν διῳκίσθημεν ὑπὸ τοῦ θεοῦ, καθάπερ Ἀρκάδες ὑπὸ Λακεδαιμονίων. φόβος οὖν ἔστιν, ἐὰν μὴ κόσμιοι ὦμεν πρὸς τοὺς θεούς, ὅπως μὴ καὶ αὖθις διασχισθησόμεθα καὶ περίιμεν ἔχοντες ὥσπερ οἱ ἐν ταῖς στήλαις καταγραφὴν ἐκτετυπωμένοι, διαπεπρισμένοι [κατὰ τὰς ῥῖνας, γεγονότες] ὥσπερ λίσπαι. ἀλλὰ

2 θέλω BV | 3 συμφῦσαι bC | τὸ αὐτὸ BVC | 4 ἕως τὰν ζητήσεως ἕνα BV | 5 ἐπειδ' ἂν B | 8 ἄλλ' ὁτιοῦν C | 9 ἄρ' C | 10 ἐρωτωμένῳ V | τούτου Bastius krit. uers. p. 50 | 13 διεσχίσθημεν Cornarius | 14 ἀπὸ Λακεδαιμονίων, aut καθάπερ — Λακεδαιμονίων del. Hommelius | 16 διασχησθησώμεθα BV | περιίωμεν b | 17 κατὰ γραφὴν VC Ruhnkenius ad Tim. p. 175 καταγραφῇ Schneiderus lexic. Letronnius lettres d'un antiq. p. 490 | στήλαις ἐκτετυπωμένοι, καταγραφήν, διαπεπρισμένοι Budaeus comment. ling. gr. p. 311 ed. bas. | διαπεπρησμένοι VC δίχα πεπρισμένοι Ruhnkenius ad Tim. p. 126 ed. 1

3 *Aristot. pol. II, 4 p. 1262 b* καθάπερ ἐν τοῖς ἐρωτικοῖς λόγοις ἴσμεν λέγοντα τὸν Ἀριστοφάνην ὡς τῶν ἐρώντων διὰ τὸ σφόδρα φιλεῖν ἐπιθυμούντων συμφῦναι καὶ γενέσθαι ἐκ δύο ὄντων ἀμφοτέρους ἕνα. *Synes. epp. 152 p. 289 D* Πλάτων — 'βούλοιτ' ἂν οὖν' φησί 'Ἡφαίστου τέχνῃ συντακῆναί τε καὶ συμφυῆναι καὶ ἓν ἄμφω γενέσθαι'. *epp. 139 p. 276 B* οἷς δὲ ὁ ἐφεστὼς βραβεύει θεὸς κατὰ τὴν θεσπεσίαν Πλάτωνος φωνὴν συντήξας τῇ τέχνῃ καὶ ἕνα ἄμφω ποιήσας τοὺς ἀντερῶντας, οὗτοι δὲ χρόνου καὶ τόπου φύσιν ἐλέγχουσιν. | 18 *schol.* λίσπαι· αἱ λεῖαι καὶ ἐκτετριμμέναι καὶ ἄπυγοι λίαν, καὶ οἱ διαπεπρισμένοι ἀστράγαλοι. οἵ τε Ἀθηναῖοι λίσποι καλοῦνται τῷ ἐκ τῆς ἐν τῷ κωπηλατεῖν συνεχοῦς ἐφέδρας αὐτοὺς ἀπογλούτους εἶναι. *Phot. Suid.* λίσπαι· οἱ μέσοι διαπεπρισμένοι ἀστράγαλοι καὶ ἐκτετριμμένοι. καὶ λίσπη γλῶσσα ⟨Arist. ran. 826⟩ ἡ ἐπιτετριμμένη. λέγονται δὲ καὶ οἱ Ἀθηναῖοι ἐπιθετικῶς λίσπαι διὰ τὸ ναυτικοὺς ὄντας ἕνεκα τῆς ἐν τῷ κωπηλατεῖν συνεχοῦς ἐφέδρας

τούτων ἕνεκα πάντ' ἄνδρα χρὴ ἅπαντα παρακελεύεσθαι εὐσε-
B βεῖν περὶ θεούς, ἵνα τὰ μὲν ἐκφύγωμεν, τῶν δὲ τύχωμεν, ὧν
ὁ Ἔρως ἡμῖν ἡγεμὼν καὶ στρατηγός. ᾧ μηδεὶς ἐναντία πραττέτω· [πράττει δ' ἐναντία, ὅστις θεοῖς ἀπεχθάνεται·] φίλοι
γὰρ γενόμενοι καὶ διαλλαγέντες τῷ θεῷ ἐξευρήσομέν τε καὶ ἐντευξόμεθα τοῖς παιδικοῖς τοῖς ἡμετέροις αὐτῶν, ὃ τῶν νῦν ὀλίγοι ποιοῦσι. καὶ μή μοι ὑπολάβῃ Ἐρυξίμαχος κωμῳδῶν τὸν
λόγον, ὡς Παυσανίαν καὶ Ἀγάθωνα λέγω· ἴσως μὲν γὰρ καὶ
C οὗτοι τούτων τυγχάνουσιν ὄντες καί εἰσιν ἀμφότεροι τὴν φύσιν
ἄρρενες· λέγω δὲ οὖν ἔγωγε καθ' ἁπάντων καὶ ἀνδρῶν καὶ γυναικῶν, ὅτι οὕτως ἂν ἡμῶν τὸ γένος εὔδαιμον γένοιτο, εἰ ἐκτελέσαιμεν τὸν ἔρωτα καὶ τῶν παιδικῶν τῶν αὑτοῦ ἕκαστος τύχοι εἰς τὴν ἀρχαίαν ἀπελθὼν φύσιν. εἰ δὲ τοῦτο ἄριστον,
ἀναγκαῖον καὶ τῶν νῦν παρόντων τὸ τούτου ἐγγυτάτω ἄριστον
εἶναι· τοῦτο δ' ἐστὶ παιδικῶν τυχεῖν κατὰ νοῦν αὐτῷ πεφυκό-
D των· οὗ δὴ τὸν αἴτιον θεὸν ὑμνοῦντες δικαίως ἂν ὑμνοῖμεν
Ἔρωτα, ὃς ἔν τε τῷ παρόντι ἡμᾶς πλεῖστα ὀνίνησιν εἰς τὸ οἰκεῖον
ἄγων, καὶ εἰς τὸ ἔπειτα ἐλπίδας μεγίστας παρέχεται, ἡμῶν παρεχομένων πρὸς θεοὺς εὐσέβειαν, καταστήσας ἡμᾶς εἰς τὴν
ἀρχαίαν φύσιν καὶ ἰασάμενος μακαρίους καὶ εὐδαίμονας ποιῆσαι.

Οὗτος, ἔφη, ὦ Ἐρυξίμαχε, ὁ ἐμὸς λόγος ἐστὶ περὶ Ἔρωτος, ἀλλοῖος ἢ ὁ σός. ὥσπερ οὖν ἐδεήθην σου, μὴ κωμῳδή-
E σῃς αὐτόν, ἵνα καὶ τῶν λοιπῶν ἀκούσωμεν τί ἕκαστος ἐρεῖ,
μᾶλλον δὲ τί ἑκάτερος· Ἀγάθων γὰρ καὶ Σωκράτης λοιποί.

Ἀλλὰ πείσομαί σοι, ἔφη φάναι τὸν Ἐρυξίμαχον· καὶ γάρ μοι 17
ὁ λόγος ἡδέως ἐρρήθη, καὶ εἰ μὴ ξυνῄδη Σωκράτει τε καὶ Ἀγά-

2 ὡς BV | 6 ἡμιτόμοις αὐτῶν Bastius krit. uers. p. 53 | 10 ἄρρενος Bastius krit. uers. p. 54 ἄρρενος ἑνὸς Orellius ad Isocr. de perm. p. 330 | δ' οὖν C | 11 εὐθαῖμον BV | 15 τοῦτον BV corr. b | αὐτῷ b | 17 ἔν τε τῷ C | 18 μετέπειτα C | 20 ποιήσειν R. B. Hirschigius | 22 ἀλλ' οἷος ἦν V | 26 ξυνῄδη Cobetus nouu. lectt. p. 213 (mnemos. V p. 261): ξυνῄδειν

ἀπογλούτους εἶναι· ἔνιοι διὰ τὸ Θησέα μετὰ Πειρίθου καταβάντα εἰς Ἅιδου καὶ πρός τινα πέτραν ὑπὸ Περσεφόνης ἐπικαθεσθέντα σὺν τῷ Πειρίθῳ, Ἡρακλέους ἐπὶ τὸν Κέρβερον κατελθόντος, παρὰ τῆς θεοῦ τε αὐτὸν ἐξαιτησαμένου καὶ τῆς πέτρας ἀποσπῶντος ἐγκαταλειφθῆναι τὸ προσηνωμένον αὐτῇ τῶν γλουτῶν μέρος· διόπερ εἰς τιμὴν ἐκείνου καὶ τοὺς λοιποὺς Ἀθηναίους οὕτως ὀνομάζεσθαι. *Hesych.* λίσποι· οἱ ἐκτετριμμένοι τῶν ἀστραγάλων. καὶ Ἀθηναῖοι ἀπὸ Θησέως, ἀπὸ τοῦ ἐν Ἅιδου προσχεθῆναι τῇ πέτρᾳ. ἀπὸ τῶν γλουτῶν . . . *Tim.* λίσπαι· οἱ δίχα πεπρισμένοι ⟨ἀστράγαλοι add. Ruhnkenius⟩.



θωνι δεινοῖς οὖσι περὶ τὰ ἐρωτικά, πάνυ ἂν ἐφοβούμην, μὴ
ἀπορήσωσι λόγων διὰ τὸ πολλὰ καὶ παντοδαπὰ εἰρῆσθαι· νῦν
δὲ ὅμως θαρρῶ. τὸν οὖν Σωκράτη εἰπεῖν Καλῶς γὰρ αὐτὸς 194
ἠγώνισαι, ὦ Ἐρυξίμαχε· εἰ δὲ γένοιο οὗ νῦν ἐγώ εἰμι, μᾶλλον
δὲ [ἴσως] οὗ ἔσομαι, ἐπειδὰν καὶ Ἀγάθων εἴπῃ, εὖ μάλ' ἂν φοβοῖο καὶ ἐν παντὶ εἴης, ὥσπερ ἐγὼ νῦν. Φαρμάττειν βούλει
με, ὦ Σώκρατες, εἰπεῖν τὸν Ἀγάθωνα, ἵνα θορυβηθῶ διὰ τὸ
οἴεσθαι τὸ θέατρον προσδοκίαν μεγάλην ἔχειν ὡς εὖ ἐροῦντος
ἐμοῦ. Ἐπιλήσμων μέντ' ἂν εἴην, ὦ Ἀγάθων, εἰπεῖν τὸν Σωκράτη, εἰ ἰδὼν τὴν σὴν ἀνδρείαν καὶ μεγαλοφροσύνην ἀναβαί- B
νοντος ἐπὶ τὸν ὀκρίβαντα μετὰ τῶν ὑποκριτῶν καὶ βλέψαντος
ἐναντία τοσούτῳ θεάτρῳ, μέλλοντος ἐπιδείξεσθαι σαυτοῦ λόγους, καὶ οὐδ' ὁπωστιοῦν ἐκπλαγέντος, νῦν οἰηθείην σε θορυβηθήσεσθαι ἕνεκα ἡμῶν ὀλίγων ἀνθρώπων. Τί δέ, ὦ Σώκρατες; τὸν Ἀγάθωνα φάναι, οὐ δή πού με οὕτω θεάτρου μεστὸν ἡγεῖ, ὥστε καὶ ἀγνοεῖν, ὅτι νοῦν ἔχοντι ὀλίγοι ἔμφρονες

BVC. Eustathius ad Odyss. ψ p. 813, 34 (1946, 23) παραδίδωσι γὰρ Ἡρακλείδης, ὅτι Ἀττικοὶ τοὺς τοιούτους ὑπερσυντελικοὺς ἐν τῷ η μόνῳ περατοῦσιν, ἤδη λέγοντες καὶ ἐνενοήκη καὶ ἐπεποιήκη. καὶ οὕτω φησὶ Παναίτιος ἔχειν τὰς γραφὰς παρὰ Πλάτωνι | 2 ἀπορήσω BV corr. c | νῦν δ' C | 5 εὖ μάλ' R. B. Hirschigius: εὖ καὶ μάλ' BVC | 6 φράττειν V | νῦν βούλει C | 7 φοβηθῶ V | 10 ἀνδρίαν BV | 11 ἀκρίβαντα BV corr. b | 12 ἐπιδείξασθαι C | 14 τί δ' C τί δαί ς | 15 οὔ τί που Stephanus

11 *schol.* ὀκρίβαντα· τὸ λογεῖον, ἐφ' οὗ οἱ τραγῳδοὶ ἠγωνίζοντο. τινὲς δὲ κιλλίβαντα τρισκελῆ φασίν, ἐφ' οὗ ἵστανται οἱ ὑποκριταὶ καὶ τὰ ἐκ μετεώρου λέγουσιν. *Hesych.* ὀκρίβας· οἱ μὲν ὄνον φασίν, οἱ δὲ ἄγριον κριόν, ἄλλοι κλίμακα. κυρίως δὲ τὸ λογεῖον, ἐφ' οὗ οἱ τραγῳδοὶ ἠγωνίζοντο, τινὲς δὲ κιλλίβας τρισκελής, ἐφ' οὗ ἵσταντο οἱ ὑποκριταὶ καὶ τὰ ἐκ μετεώρου λέγουσιν. *Tim.* ὀκρίβας· πῆγμα τὸ ἐν τῷ θεάτρῳ τιθέμενον, ἐφ' οὗ ἵστανται οἱ τὰ δημόσια λέγοντες· θυμέλη γὰρ οὐδέπω ἦν· [λέγει γοῦν τις.] ⟨del. Naberus ad Phot. I p. 116⟩ λογεῖόν ἐστι πῆξις ἐστορεσμένη ξύλων, εἶτα ἑξῆς ὀκρίβας δὲ ὀνομάζεται. *Phot.* *Suid.* ὀκρίβας· σκηνή. ἰδίως * * πάντων τῶν λεγόντων τὰ ⟨δημόσια add.⟩. † πλαστικὰ πήγματα, ἐφ' οἷς διατυποῦσι τὰς εἰκόνας· καὶ τὰ ὑπερείσματα τῶν ξυλίνων θεάτρων. βέλτιον φαίνεται τὸ λογεῖον, ἐφ' οὗ ἵστανται οἱ τραγῳδοί ⟨ἢ οἱ ὑποκριταὶ ἐκ μετεώρου καὶ ἔλεγον. οἱ δὲ ὄνον φασὶν εἶναι, οἱ δὲ ἄγριον κριόν, ἄλλοι κλίμακα add. Suid.⟩. *Phot.* ὀκρίβας· τὸ λογεῖον, ἐφ' ᾧ οἱ τραγῳδοὶ ἠγωνίζοντο. καὶ Πλάτων ὁ φιλόσοφος ἐν συμποσίῳ κέχρηται τῷ ὀνόματι. | 15 *Themist.* *26 p. 311 B* οὐ δή πού με τὰ θέατρα οὕτως ἀγαπᾶν ἡγεῖσθε ὥστε ἀγνοεῖν ὅτι ὀλίγοι ἔμφρονες πολλῶν ἀφρόνων τῷ λέγοντι φοβερώτεροι.

C πολλῶν ἀφρόνων φοβερώτεροι; Οὐ μέντ' ἂν καλῶς ποιοίην,
φάναι, ὦ Ἀγάθων, περὶ σοῦ τι ἐγὼ ἄγροικον δοξάζων· ἀλλ'
εὖ οἶδα, ὅτι εἴ τισιν ἐντύχοις οὓς ἡγοῖο σοφούς, μᾶλλον ἂν
αὐτῶν φροντίζοις ἢ τῶν πολλῶν· ἀλλὰ μὴ οὐχ οὗτοι ἡμεῖς
ὦμεν· ἡμεῖς μὲν γὰρ καὶ ἐκεῖ παρῆμεν καὶ ἦμεν τῶν πολλῶν·
εἰ δὲ ἄλλοις ἐντύχοις σοφοῖς, τάχ' ἂν αἰσχύνοιο αὐτούς, εἴ τι
ἴσως οἴοιο αἰσχρὸν ποιεῖν· ἢ πῶς λέγεις; Ἀληθῆ λέγεις, φά-
D ναι. Τοὺς δὲ πολλοὺς οὐκ ἂν αἰσχύνοιο, εἴ τι οἴοιο αἰσχρὸν
ποιεῖν; καὶ τὸν Φαῖδρον ἔφη ὑπολαβόντα εἰπεῖν Ὦ φίλε Ἀγά-
θων, ἐὰν ἀποκρίνῃ Σωκράτει, οὐδὲν ἔτι διοίσει αὐτῷ ὁπηοῦν
τῶν ἐνθάδε ὁτιοῦν γίγνεσθαι, ἐὰν μόνον ἔχῃ ὅτῳ διαλέγηται,
ἄλλως τε καὶ καλῷ. ἐγὼ δὲ ἡδέως μὲν ἀκούω Σωκράτους δια-
λεγομένου, ἀναγκαῖον δέ μοι ἐπιμεληθῆναι τοῦ ἐγκωμίου τῷ
Ἔρωτι καὶ ἀποδέξασθαι παρ' ἑνὸς ἑκάστου ὑμῶν τὸν λόγον·
ἀποδοὺς οὖν ἑκάτερος τῷ θεῷ οὕτως ἤδη διαλεγέσθω. Ἀλλὰ
E καλῶς λέγεις, ὦ Φαῖδρε, φάναι τὸν Ἀγάθωνα, καὶ οὐδέν με
κωλύει λέγειν· Σωκράτει γὰρ καὶ αὖθις ἔσται πολλάκις δια-
λέγεσθαι.

Ἐγὼ δὲ δὴ βούλομαι πρῶτον μὲν εἰπεῖν ὡς χρή με εἰπεῖν, 18
ἔπειτα εἰπεῖν. δοκοῦσι γάρ μοι πάντες οἱ πρόσθεν εἰρηκότες
οὐ τὸν θεὸν ἐγκωμιάζειν, ἀλλὰ τοὺς ἀνθρώπους εὐδαιμονίζειν
τῶν ἀγαθῶν ὧν ὁ θεὸς αὐτοῖς αἴτιος· ὁποῖος δέ τις αὐτὸς
195 ὢν ταῦτα ἐδωρήσατο, οὐδεὶς εἴρηκεν. εἷς δὲ τρόπος ὀρθὸς
παντὸς ἐπαίνου περὶ παντός, λόγῳ διελθεῖν, οἷος οἵων αἴτιος
ὢν τυγχάνει περὶ οὗ ἂν ὁ λόγος ᾖ. οὕτω δὴ τὸν Ἔρωτα καὶ
ἡμᾶς δίκαιον ἐπαινέσαι πρῶτον αὐτὸν οἷός ἐστιν, ἔπειτα τὰς
δόσεις. φημὶ οὖν ἐγὼ πάντων θεῶν εὐδαιμόνων ὄντων Ἔρωτα,
εἰ θέμις καὶ ἀνεμέσητον εἰπεῖν, εὐδαιμονέστατον εἶναι αὐτῶν,
κάλλιστον ὄντα καὶ ἄριστον. ἔστι δὲ κάλλιστος ὢν τοιόσδε.
πρῶτον μὲν νεώτατος θεῶν, ὦ Φαῖδρε. μέγα δὲ τεκμήριον τῷ
B λόγῳ αὐτὸς παρέχεται, φεύγων φυγῇ τὸ γῆρας, ταχὺ ὂν δῆλον
ὅτι· θᾶττον γοῦν τοῦ δέοντος ἡμῖν προσέρχεται. ὃ δὴ πέφυ-

2 φᾶναι BV | φάναι τὸν Σωκράτη ς | 3 οἶδ' C | 6 εἰ δ' C | 7 αἰσχρὸν ποιεῖν Astius: αἰσχρὸν ὂν ποιεῖν BVC | 8 οἴοιτο BV corr. b | 12 ἀκούσω C | 14 τῶν λόγων V | 19 χρή μ' ἐπαινεῖν, ἔπειτα ἐπαινεῖν R. B. Hirschigius zeitschr. f. d. alterth. wiss. 1851 p. 331 | 21 οὐδὲ C | 22 τῶν ὁ θεὸς C corr. c | 23 ταῦτ' C | ὀρθῶς V | 24 οἷος ὢν B οἷος ὢν V οἷος ὅσων Baiterus | 26 οἷός ἐστιν del. R. B. Hirschigius | 27 δόσεις αὐτοῦ R. B. Hirschigius | φημὶ — p. 40, 14 νόημα l. Ioa. Stob. flor. LXIII, 36 | 31 φυγῇ φεύγων C | ταχὺ οὖν C | δῆλον ὅτι del. Heusdius spec. crit. p. 62



κεν Ἔρως μισεῖν καὶ οὐδ' ἐντὸς πολλοῦ πλησιάζει. μετὰ δὲ
νέων ἀεὶ ξύνεστί τε καὶ ἔστιν νέος· ὁ γὰρ παλαιὸς λόγος εὖ
ἔχει, ὡς ὅμοιον ὁμοίῳ ἀεὶ πελάζει. ἐγὼ δὲ Φαίδρῳ πολλὰ
ἄλλα ὁμολογῶν τοῦτο οὐχ ὁμολογῶ, ὡς Ἔρως Κρόνου καὶ Ἰα-
πετοῦ ἀρχαιότερός ἐστιν, ἀλλά φημι νεώτατον αὐτὸν εἶναι θεῶν C
καὶ ἀεὶ νέον, τὰ δὲ παλαιὰ πράγματα περὶ θεούς, ἃ Ἡσίοδος
καὶ Παρμενίδης λέγουσιν, Ἀνάγκῃ καὶ οὐκ Ἔρωτι γεγονέναι, εἰ
ἐκεῖνοι ἀληθῆ ἔλεγον· οὐ γὰρ ἂν ἐκτομαὶ οὐδὲ δεσμοὶ ἀλλήλων
ἐγίγνοντο καὶ ἄλλα πολλὰ καὶ βίαια, εἰ Ἔρως ἐν αὐτοῖς ἦν,
ἀλλὰ φιλία καὶ εἰρήνη, ὥσπερ νῦν, ἐξ οὗ Ἔρως τῶν θεῶν βα-
σιλεύει. νέος μὲν οὖν ἐστί, πρὸς δὲ τῷ νέῳ ἁπαλός· ποιητοῦ
δ' ἔστιν ἐνδεὴς οἷος ἦν Ὅμηρος πρὸς τὸ ἐπιδεῖξαι θεοῦ ἁπα- D
λότητα. Ὅμηρος γὰρ Ἄτην θεόν τέ φησιν εἶναι καὶ ἁπα-
λήν [· τοὺς γοῦν πόδας αὐτῆς ἁπαλοὺς εἶναι], λέγων

τῆς μένθ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὔδεος
πίλναται, ἀλλ' ἄρα ἥ γε κατ' ἀνδρῶν κράατα βαίνει.

καλῷ οὖν δοκεῖ μοι τεκμηρίῳ τὴν ἁπαλότητα ἀποφαίνειν, ὅτι
οὐκ ἐπὶ σκληροῦ βαίνει, ἀλλ' ἐπὶ μαλθακοῦ. τῷ αὐτῷ δὴ καὶ
ἡμεῖς χρησώμεθα τεκμηρίῳ περὶ Ἔρωτα ὅτι ἁπαλός. οὐ γὰρ E
ἐπὶ γῆς βαίνει οὐδ' ἐπὶ κρανίων, ἅ ἐστιν οὐ πάνυ μαλακά, ἀλλ'

1 ἔρωτος BV corr. b | ἐντὸς Ioa. Stob.: ὄντος BVC | πλησιάζειν VC | 2 νέων ξύνεστί τε καὶ ἀεί ἐστιν Bastius krit. uers. p. 56 improb. idem lettre crit. p. 125 (ep. crit. p. 165) | αἰεὶ BV | ἔστιν νέος Sauppius: νέος om. BVC | τε καὶ ἕπεται· ὁ Winckelmannus | 3 αἰεὶ BV | 6 καὶ om. C | ἀεὶ BV | γράμματα BV | 7 Παρμενείδης BV Ἐπιμενίδης Astius | εἰ ἐκεῖνοι om. Ioa. Stob. | 9 ἐγένοντο C | ὁ Ἔρως C | 13 Ἄτην C | 14 τοὺς γοῦν — βαίνει del. Orellius ad Isocr. de perm. p. 330 | 15 schol. Hom. Il. *T*, 92 τῇ μέν· οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ τῆς μέν. | ἐπ' οὔδει ς Homeri codd. | 16 πήδναται BV | 18 τὸ αὐτὸ BV | 19 χρησόμεθα Ioa. Stob.

3 *schol.* ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον ἐπὶ τῶν τοὺς τρόπους παραπλησίων καὶ ἀλλήλοις ἀεὶ συνδιαγόντων, ἐξ Ὁμήρου ⟨Od. ρ, 218⟩ λαβοῦσα τὴν ἀρχήν. μέμνηται δὲ αὐτῆς Πλάτων καὶ ἐν Λύσιδι ⟨p. 214 a⟩ καὶ ἐν συμποσίῳ, καὶ Μένανδρος Σικυωνίᾳ ⟨Σικυωνίῳ Meinekius fr. 8⟩. *Aristaenet. epp, I, 10* ὁ γὰρ παλαιὸς λόγος εὖ ἔχει, ὡς ὅμοιον ὁμοίῳ κατὰ θεὸν ἀεὶ προσπελάζει. | 4 *Moeris* Ἰαπετὸς ἀντὶ τοῦ γέρων, καὶ Τίθωνος καὶ Κρόνος ἐπὶ τῶν γερόντων. *Lucian. dial. deor. 2, 1* σὺ παιδίον, ὦ Ἔρως, ἀρχαιότερος ὢν πολὺ τοῦ Ἰαπετοῦ; | 6 ⟨*Hesiod. theog. 176 sqq. 746 sqq.*⟩ | 7 *Parmenides 84 K. apud Simplic. ad Arist. phys. ausc. f. 9 a* κρατερὴ γὰρ Ἀνάγκη πείρατος ἐν δεσμοῖσιν ἔχει τέ μιν ἀμφὶς ἐέργει. | 13 ⟨*Homer. Il. T, 92*⟩ | 16 *schol.* πίλναται· προσπελάζει, ⟨eadem Hesychius⟩ προσεγγίζει.

ἐν τοῖς μαλακωτάτοις τῶν ὄντων καὶ βαίνει καὶ οἰκεῖ. ἐν γὰρ
ἤθεσι καὶ ψυχαῖς θεῶν καὶ ἀνθρώπων τὴν οἴκησιν ἵδρυται,
καὶ οὐκ αὖ ἑξῆς ἐν πάσαις ταῖς ψυχαῖς, ἀλλ' ᾗτινι ἂν σκληρὸν
ἦθος ἐχούσῃ ἐντύχῃ, ἀπέρχεται, ᾗ δ' ἂν μαλακόν, οἰκίζεται.
ἁπτόμενον οὖν ἀεὶ καὶ ποσὶ καὶ πάντῃ ἐν μαλακωτάτοις τῶν
196 μαλακωτάτων, ἁπαλώτατον ἀνάγκη εἶναι. νεώτατος μὲν δή ἐστι
καὶ ἁπαλώτατος, πρὸς δὲ τούτοις ὑγρὸς τὸ εἶδος. οὐ γὰρ ἂν
οἷός τ' ἦν πάντῃ περιπτύσσεσθαι οὐδὲ διὰ πάσης ψυχῆς καὶ
εἰσιὼν τὸ πρῶτον λανθάνειν καὶ ἐξιών, εἰ σκληρὸς ἦν. συμ-
μέτρου δὲ [καὶ ὑγρᾶς] ἰδέας μέγα τεκμήριον ἡ εὐσχημοσύνη, ὃ
δὴ διαφερόντως ἐκ πάντων ὁμολογουμένως Ἔρως ἔχει· ἀσχη-
μοσύνῃ γὰρ καὶ Ἔρωτι πρὸς ἀλλήλους ἀεὶ πόλεμος. χρόας δὲ
κάλλος ἡ κατ' ἄνθη δίαιτα τοῦ θεοῦ σημαίνει· ἀνανθεῖ γὰρ καὶ
B ἀπηνθηκότι καὶ σώματι καὶ ψυχῇ καὶ ἄλλῳ ὁτῳοῦν οὐκ ἐνίζει
Ἔρως, οὗ δ' ἂν εὐανθής τε καὶ εὐώδης τόπος ᾖ, ἐνταῦθα καὶ
ἵζει καὶ μένει. περὶ μὲν οὖν κάλλους τοῦ θεοῦ καὶ ταῦτα 19
ἱκανὰ καὶ ἔτι πολλὰ λείπεται, περὶ δὲ ἀρετῆς Ἔρωτος μετὰ
ταῦτα λεκτέον. τὸ μὲν μέγιστον ὅτι Ἔρως οὔτ' ἀδικεῖ οὔτ'
ἀδικεῖται οὔθ' ὑπὸ θεοῦ οὔτε θεόν, οὔθ' ὑπ' ἀνθρώπου οὔτε
ἄνθρωπον. οὔτε γὰρ αὐτὸς βίᾳ πάσχει εἴ τι πάσχει — βία
C γὰρ Ἔρωτος οὐχ ἅπτεται — οὔτε ποιῶν ποιεῖ — πᾶς γὰρ
ἑκὼν Ἔρωτι πᾶν ὑπηρετεῖ· ἃ δ' ἂν ἑκὼν ἑκόντι ὁμολογήσῃ,
φασὶν 'οἱ πόλεως βασιλῆς νόμοι' δίκαια εἶναι. πρὸς δὲ τῇ
δικαιοσύνῃ σωφροσύνης πλεῖστον μετέχει. εἶναι γὰρ ὁμολο-
γεῖται σωφροσύνη τὸ κρατεῖν ἡδονῶν καὶ ἐπιθυμιῶν, Ἔρωτος
δὲ μηδεμίαν ἡδονὴν κρείττω εἶναι· εἰ δὲ ἥττους, κρατοῖντ' ἂν
ὑπὸ Ἔρωτος, ὁ δὲ κρατοῖ, κρατῶν δὲ ἡδονῶν καὶ ἐπιθυμιῶν
ὁ Ἔρως διαφερόντως ἂν σωφρονοῖ. καὶ μὴν εἴς γε ἀνδρείαν

6 *ἁπαλώτατον* om. Ioa. Stob. | 9 *εἰ ἦν σκληρός* C | 10 *οὐσίας* Ioa. Stob. | 16 *ταῦθ'* C | 19 *οὔτε — οὔτε* BV | *οὔτ' ἄνθρωπον* C | 23 *οἱ τῶν πόλεων βασιλεῖς* Ioa. Stob. | *βασιλικῆς* C | 24 *πλεῖστον* Cobetus nouu. lectt. p. 108 (mnemos. IV p. 305): *πλείστης* BVC | 25 *Ἔρωτος — 27 ἐπιθυμιῶν* om. V | 27 *κρατεῖ* C | 28 *ἀνδρίαν* BV |

13 *Aristaenet. epp. II, 1* ἀνανθεῖ γὰρ καὶ ἀπηνθηκότι σώματι οὐ πέφυκε προσιζάνειν ὁ Ἔρως· οὗ δὲ ἂν εὐανθές τε καὶ εὐῶδες ᾖ, ἐνταῦθα καὶ ἐνιζάνει καὶ μένει. | 23 *Aristoteles rhet. III, 3 p. 1406 A* διὸ τὰ Ἀλκιδάμαντος ψυχρὰ φαίνεται· οὐ γὰρ ἡδύσματι χρῆται ἀλλ' ὡς ἐδέσματι τοῖς ἐπιθέτοις, οὕτω πυκνοῖς καὶ μείζοσι καὶ ἐπιδήλοις, οἷον — οὐχὶ νόμους ἀλλὰ τοὺς τῶν πόλεων βασιλεῖς νόμους.



Ἔρωτι 'οὐδὲ Ἄρης ἀνθίσταται'. οὐ γὰρ ἔχει Ἔρωτα Ἄρης, ἀλλ' D
Ἔρως Ἄρη, Ἀφροδίτης, ὡς λόγος· κρείττων δὲ ὁ ἔχων τοῦ
ἐχομένου· τοῦ δ' ἀνδρειοτάτου τῶν ἄλλων κρατῶν πάντων ἂν
ἀνδρειότατος εἴη. περὶ μὲν οὖν δικαιοσύνης καὶ σωφροσύνης
καὶ ἀνδρείας τοῦ θεοῦ εἴρηται, περὶ δὲ σοφίας λείπεται· ὅσον
οὖν δυνατόν, πειρατέον μὴ ἐλλείπειν. καὶ πρῶτον μέν, ἵν' αὖ
καὶ ἐγὼ τὴν ἡμετέραν τέχνην τιμήσω ὥσπερ Ἐρυξίμαχος τὴν
αὑτοῦ, ποιητὴς ὁ θεὸς σοφὸς οὕτως ὥστε καὶ ἄλλον ποιῆσαι· E
πᾶς γοῦν ποιητὴς γίγνεται, 'κἂν ἄμουσος ᾖ τὸ πρίν', οὗ ἂν
Ἔρως ἅψηται. ᾧ δὴ πρέπει ἡμᾶς μαρτυρίῳ χρῆσθαι, ὅτι ποιη-
τὴς ὁ Ἔρως ἀγαθὸς ἐν κεφαλαίῳ πᾶσαν ποίησιν [τὴν κατὰ
μουσικήν]· ἃ γάρ τις ἢ μὴ ἔχει ἢ μὴ οἶδεν, οὔτ' ἂν ἑτέρῳ δοίη
οὔτ' ἂν ἄλλον διδάξειε. καὶ μὲν δὴ τήν γε τῶν ζώων ποίησιν 197
πάντων τίς ἐναντιώσεται μὴ οὐχὶ Ἔρωτος εἶναι σοφίαν, ᾗ γί-
γνεταί τε καὶ φύεται πάντα τὰ ζῶα; ἀλλὰ τὴν τῶν τεχνῶν δη-
μιουργίαν οὐκ ἴσμεν, ὅτι οὗ μὲν ἂν ὁ θεὸς οὗτος διδάσκαλος
γένηται, ἐλλόγιμος καὶ φανὸς ἀπέβη, οὗ δ' ἂν Ἔρως μὴ ἐφά-
ψηται, σκοτεινός; τοξικήν γε μὴν καὶ μαντικὴν Ἀπόλλων ἀνεῦ-
ρεν ἐπιθυμίας καὶ ἔρωτος ἡγεμονεύσαντος, ὥστε καὶ οὗτος
Ἔρωτος ἂν εἴη μαθητής, καὶ Μοῦσαι μουσικῆς καὶ Ἥφαιστος B
χαλκείας καὶ Ἀθηνᾶ ἱστουργίας καὶ Ζεὺς κυβερνᾶν θεῶν τε καὶ
ἀνθρώπων. ὅθεν δὴ καὶ κατεσκευάσθη τῶν θεῶν τὰ πράγματα
Ἔρωτος ἐγγενομένου, δῆλον ὅτι κάλλους· αἴσχει γὰρ οὐκ ἔνι
Ἔρως· πρὸ τοῦ δέ, ὥσπερ ἐν ἀρχῇ εἶπον, πολλὰ καὶ δεινὰ
θεοῖς ἐγίγνετο, ὡς λέγεται, διὰ τὴν τῆς Ἀνάγκης βασιλείαν·
ἐπειδὴ δ' ὁ θεὸς οὗτος ἔφυ, ἐκ τοῦ ἐρᾶν τῶν καλῶν πάντ'
ἀγαθὰ γέγονε καὶ θεοῖς καὶ ἀνθρώποις. οὕτως ἐμοὶ δοκεῖ, ὦ C
Φαῖδρε, Ἔρως πρῶτος αὐτὸς ὢν κάλλιστος καὶ ἄριστος μετὰ
τοῦτο τοῖς ἄλλοις ἄλλων τοιούτων αἴτιος εἶναι. ἐπέρχεται δέ
μοί τι καὶ ἔμμετρον εἰπεῖν, ὅτι οὗτός ἐστιν ὁ ποιῶν

1 *ἀλλὰ* C | 3 *ἀνδριοτάτου* V | *ἂν* om. B | 6 *ἵν'* om. BV | 8 *αὐτοῦ* V *ἑαυτοῦ* C | 9 *καὶ* BV corr. b | 9 *τὴν κατὰ μουσικήν* del. Sauppius | 13 *διδάξειεν* V | 21 *κυβερνήσεως* ς | 23 *οὐκ ἔνι* Porsonus aduu. p. 67 (58): *οὐκέτι* B *οὐκ ἐνί* b *οὐκ ἔνεστιν* in marg. b *οὐκ ἐίν* V *οὐκ ἔπεστιν* C Ioa. Stob. | *αἴσχους γὰρ οὐκ ἔστιν* Astius | 25 *ἐγγίγνετο* V | 26 *ἔφη* V | 28 *πρῶτον* Ioa. Stob. | 29 Hermogenes *π. ἰδεῶν* II, 41 t. III p. 320 W. *ὁ δὲ Πλάτων καὶ ἀφειδέστερον ἐν τῷ συμποσίῳ καταχρησάμενος τῷ τοῦ Ἀγάθωνος προσώπῳ ὡς ποιητοῦ τῇ παρακλοκῇ ταύτῃ ἐχρήσατο. οὐ γὰρ ἀπ' ἀλλοτρίων ποιημάτων τινά, ἀλλ' αὐτὸς ποιήσας πα-*

1 *Sophocles Thyest. 236* πρὸς τὴν Ἀνάγκην οὐδ' Ἄρης ἀνθίσταται. | 9 *Euripides Stheneb. 666* ποιητὴν δ' ἄρα Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν.

εἰρήνην μὲν ἐν ἀνθρώποις, πελάγει δὲ γαλήνην
νηνεμίαν ἀνέμων, κοίτῃ θ' ὕπνον νηκηδῆ.

D οὗτος δὲ ἡμᾶς ἀλλοτριότητος μὲν κενοῖ, οἰκειότητος δὲ πληροῖ, τὰς τοιάσδε ξυνόδους μετ' ἀλλήλων πάσας τιθεὶς ξυνιέναι, ἐν ἑορταῖς, ἐν χοροῖς, ἐν εὐθυμίαις γιγνόμενος ἡγεμών· πραότητα μὲν πορίζων, ἀγριότητα δ' ἐξορίζων· φιλόδωρος εὐμενείας, ἄδωρος δυσμενείας· ἵλεως ἀγαθοῖς, θεατὸς σοφοῖς, ἀγαστὸς θεοῖς· ζηλωτὸς ἀμοίροις, κτητὸς εὐμοίροις· τρυφῆς, ἁβρότητος, χλιδῆς, χαρίτων, ἱμέρου, πόθου πατήρ· ἐπιμελὴς ἀγαθῶν, ἀμελὴς E κακῶν· ἐν πόνῳ, ἐν φόβῳ, ἐν μόθῳ, ἐν μόγῳ κυβερνήτης, ἐπιβάτης, παραστάτης τε καὶ σωτὴρ ἄριστος, ξυμπάντων τε θεῶν καὶ ἀνθρώπων κόσμος, ἡγεμὼν κάλλιστος καὶ ἄριστος, ᾧ χρὴ ἕπεσθαι πάντα ἄνδρα ἐφυμνοῦντα καλῶς ᾠδῆς μετέχοντα, ἣν ᾄδει θέλγων πάντων θεῶν τε καὶ ἀνθρώπων νόημα.

Οὗτος, ἔφη, ὁ παρ' ἐμοῦ λόγος, ὦ Φαῖδρε, τῷ θεῷ ἀνακείσθω, τὰ μὲν παιδιᾶς, τὰ δὲ σπουδῆς μετρίας, καθ' ὅσον
198 ἐγὼ δύναμαι, μετέχων. εἰπόντος δὲ τοῦ Ἀγάθωνος πάντας 20
ἔφη ὁ Ἀριστόδημος ἀναθορυβῆσαι τοὺς παρόντας, ὡς πρεπόντως τοῦ νεανίσκου εἰρηκότος καὶ αὑτῷ καὶ τῷ θεῷ. τὸν οὖν Σωκράτη εἰπεῖν βλέψαντα εἰς τὸν Ἐρυξίμαχον Ἆρά σοι δοκῶ, φάναι, ὦ παῖ Ἀκουμενοῦ, ἀδεὲς πάλαι δέος δεδιέναι, ἀλλ' οὐ μαντικῶς ἃ νῦν δὴ ἔλεγον εἰπεῖν, ὅτι Ἀγάθων θαυμαστῶς

ρέπλεξε προδιορθωσάμενος μέντοι, ἵνα μὴ πάντῃ αὐτεξούσιον εἶναι δοκῇ τὸ λεγόμενον, οἷον 'ἐπέρχεται — ὁ ποιῶν', εἶτα τὸ μέτρον ἐπήγαγεν 'εἰρήνην — ἐνὶ κήδει'. | 2 τ' ἀνέμων Ioa. Stob. δ' ἀνέμοις Hermogenes | κοίτῃ θ' ὕπνον νηκηδῆ G. Dindorfius: κοίτην ὕπνον τ' ἐνὶ κήδει B Hermogenes Ioa. Stob. κοίτην ὑπνοντενικηδεῖ V κοίτη ὕπνον τε κυδημῆ C κοίτην ὕπνον τε νηκηδῆ ς κοίτην ὕπνον τ' ἐνὶ γήθει Bastius krit. uers. p. 58 κοίτην ὕπνον τ' ἐνὶ κήτει Hommelius κοίτην, ὕπνον λαθικηδῆ Winckelmannus actt. soc. graec. II p. 20 | 3 δ' ἡμᾶς C | ἀλλοτριότητος — πληροῖ l. Proclus in Alcib. I p. 58 | 5 ἐν εὐθυμίαις Ioa. Stob.: ἐν θυσίαις BVC | 6 Bekkeri anecd. p. 346 Πλάτων μέντοι γε ἐν συμποσίῳ — φησὶν ἄδωρος δυσμενείας ἀντὶ τοῦ μὴ διδοὺς δυσμένειαν | 7 ἵλεως ἀγαθός C | 8 χλῆδῆς B χληδῆς V 9 ἡμέρου BV | ἀνελὴς B corr. b | 10 ἐν φόβῳ, ἐν πόθῳ, ἐν πόνῳ, ἐν μόγῳ Schuetzius opp. p. 124 | ἐν μόθῳ scripsi: ἐν πόθῳ BVC Ioa. Stob. | ἐν μόγῳ Schuetzius: ἐν λόγῳ BVC Ioa. Stob. ἐν νόσῳ Winckelmannus praef. dial. spur. p. XI | 13 πάντ' C | καλῶς om. Ioa. Stob. | καλῶδ C καλῶς καλῆς ς | καλῶς τῆς ᾠδῆς Astius καὶ τῆς ᾠδῆς Orellius ad Isocr. de permut. p. 331 | 21 Ἀκουμένου V

21 *schol.* ἀδεὲς δέος· ἐπὶ τῶν τὰ μὴ ἄξια φόβου δεδιότων. ὅμοιον τούτῳ καὶ τὸ ψοφοδεὴς ἄνθρωπος ⟨Phaedr. p. 257 D⟩. *Phot. Suid.* ἀδεές· ἀσφαλές, οὐ φοβερόν, ὡς ἡ παροιμία 'ἀδεὲς δέδιας δέος'. λεγόμενόν τι ἔστιν ἐπὶ τῶν τὰ μὴ φοβερὰ φοβουμένων.



ἐροίη, ἐγὼ δ' ἀπορήσοιμι; Τὸ μὲν ἕτερον, φάναι τὸν Ἐρυξίμαχον, μαντικῶς μοι δοκεῖς εἰρηκέναι, ὅτι Ἀγάθων εὖ ἐρεῖ· τὸ δὲ σὲ ἀπορήσειν οὐκ οἶμαι. Καὶ πῶς, ὦ μακάριε, εἰπεῖν τὸν Σωκράτη, οὐ μέλλω ἀπορεῖν καὶ ἐγὼ καὶ ἄλλος ὁστισοῦν, μέλ- B
λων λέξειν μετὰ καλὸν οὕτω καὶ παντοδαπὸν λόγον ῥηθέντα; καὶ τὰ μὲν ἄλλα οὐχ ὁμοίως μὲν θαυμαστά· τὸ δ' ἐπὶ τελευτῆς τοῦ κάλλους τῶν ὀνομάτων καὶ ῥημάτων τίς οὐκ ἂν ἐξεπλάγη ἀκούων; ἐπεὶ ἔγωγε ἐνθυμούμενος, ὅτι αὐτὸς οὐχ οἷός τ' ἔσομαι οὐδ' ἐγγὺς τούτων οὐδὲν καλὸν εἰπεῖν, ὑπ' αἰσχύνης ὀλίγου ἀποδρὰς ᾠχόμην, εἴ πῃ εἶχον. καὶ γάρ με Γοργίου ὁ C
λόγος ἀνεμίμνησκεν, ὥστε ἀτεχνῶς τὸ τοῦ Ὁμήρου ἐπεπόνθη· ἐφοβούμην μή μοι τελευτῶν ὁ Ἀγάθων Γοργίου κεφαλὴν δεινοῦ λέγειν ἐν τῷ λόγῳ ἐπὶ τὸν ἐμὸν λόγον πέμψας αὐτόν με λίθον τῇ ἀφωνίᾳ ποιήσειε. καὶ ἐνενόησα τότε ἄρα καταγέλαστος ὤν, ἡνίκα ὑμῖν ὡμολόγουν ἐν τῷ μέρει μεθ' ὑμῶν ἐγκωμιάσεσθαι τὸν Ἔρωτα καὶ ἔφην εἶναι δεινὸς τὰ ἐρωτικά, οὐ- D
δὲν εἰδὼς ἄρα τοῦ πράγματος, ὡς ἔδει ἐγκωμιάζειν ὁτιοῦν. ἐγὼ μὲν γὰρ ὑπ' ἀβελτερίας ᾤμην δεῖν τἀληθῆ λέγειν περὶ ἑκάστου τοῦ ἐγκωμιαζομένου, καὶ τοῦτο μὲν ὑπάρχειν, ἐξ αὐτῶν δὲ τούτων τὰ κάλλιστα ἐκλεγομένους ὡς εὐπρεπέστατα τιθέναι· καὶ πάνυ δὴ μέγα ἐφρόνουν ὡς εὖ ἐρῶν, ὡς εἰδὼς τὴν ἀλήθειαν τοῦ ἐπαινεῖν ὁτιοῦν. τὸ δ' ἄρα, ὡς ἔοικεν, οὐ τοῦτο ἦν τὸ καλῶς ἐπαινεῖν ὁτιοῦν, ἀλλὰ τὸ ὡς μέγιστα ἀνα- E
τιθέναι τῷ πράγματι καὶ ὡς κάλλιστα, ἐάν τε ᾖ οὕτως ἔχοντα ἐάν τε μή· εἰ δὲ ψευδῆ, οὐδὲν ἄρ' ἦν πρᾶγμα. προὐρρήθη γάρ, ὡς ἔοικεν, ὅπως ἕκαστος ἡμῶν τὸν Ἔρωτα ἐγκωμιάζειν δόξει, οὐχ ὅπως ἐγκωμιάσεται. διὰ ταῦτα δή, οἶμαι, πάντα λόγον κινοῦντες ἀνατίθετε τῷ Ἔρωτι, καί φατε αὐτὸν τοιοῦτόν τε εἶναι καὶ τοσούτων αἴτιον, ὅπως ἂν φαίνηται ὡς κάλλιστος 199

1 ἐροίη Cobetus nouu. lectt. p. 582 (mnemos. VII p. 94): ἐροῖ BVC | 2 δοκεῖς μοι C | 5 λεξιν in marg. λεξειν V | οὕτω ante λόγον C | 6 μὲν om. ς | 11 ἐπεπόνθη Bekkerus: ἐπεπόνθει B ἐπεπόνθ V ἐπεπόνθειν C | 14 ποιήσειεν V | 18 γὰρ om. C | 19 τοῦ del. Hommelius | τοῦτο πρῶτον (uel μέγιστον) μὲν Bastius krit. uers. p. 61 | 22 τὰ δὲ ἄρ' C | τὸ δ' — ὁτιοῦν om V | οὐ τούτοις Bastius krit. uers. p. 62 | 25 ἦν τὸ πρᾶγμα C | 27 δόξῃ BV

11 *Homer. Od.* λ, 632 ἐμὲ δὲ χλωρὸν δέος ᾕρει,
μή μοι γοργείην κεφαλὴν δεινοῖο πελώρου
ἐξ Ἀίδεω πέμψειεν ἀγαυὴ Περσεφονείη. |
*Suid.* ἐπεπόνθη ἀντὶ τοῦ ἐπεπόνθειν, καὶ ἑωράκη ἀντὶ τοῦ ἑωράκειν, καὶ ᾔδη ἀντὶ τοῦ ᾔδειν.

καὶ ἄριστος, δῆλον ὅτι τοῖς μὴ γιγνώσκουσιν· οὐ γάρ που τοῖς γε εἰδόσι· καὶ καλῶς γ' ἔχει καὶ σεμνῶς ὁ ἔπαινος. ἀλλὰ γὰρ ἐγὼ οὐκ ᾔδη τὸν τρόπον τοῦ ἐπαίνου, οὐ δ' εἰδὼς ὑμῖν ὡμολόγησα καὶ αὐτὸς ἐν τῷ μέρει ἐπαινέσεσθαι. ἡ γλῶττα οὖν ὑπέσχετο, ἡ δὲ φρὴν οὔ· χαιρέτω δή. οὐ γὰρ ἔτι ἐγκωμιάζω τοῦτον τὸν τρόπον· οὐ γὰρ ἂν δυναίμην· οὐ μέντοι ἀλλὰ τά γε
B ἀληθῆ, εἰ βούλεσθε, ἐθέλω εἰπεῖν κατ' ἐμαυτόν, οὐ πρὸς τοὺς ὑμετέρους λόγους, ἵνα μὴ γέλωτα ὄφλω. ὅρα οὖν, ὦ Φαῖδρε, εἴ τι καὶ τοιούτου λόγου δέει, περὶ Ἔρωτος τἀληθῆ λεγόμενα ἀκούειν, ὀνόμασι δὲ καὶ θέσει ῥημάτων τοιαύτῃ, ὁποία ἄν τις τύχῃ ἐπελθοῦσα. Τὸν οὖν Φαῖδρον ἔφη καὶ τοὺς ἄλλους κελεύειν λέγειν, ὅπῃ αὐτὸς οἴοιτο δεῖν εἰπεῖν, ταύτῃ. Ἔτι τοίνυν, φάναι, ὦ Φαῖδρε, πάρες μοι Ἀγάθωνα σμίκρ' ἄττα ἐρέσθαι,
C ἵνα ἀνομολογησάμενος παρ' αὐτοῦ οὕτως ἤδη λέγω. Ἀλλὰ παρίημι, φάναι τὸν Φαῖδρον, ἀλλ' ἐρώτα. Μετὰ ταῦτα δὴ τὸν Σωκράτη ἔφη ἐνθένδε ποθὲν ἄρξασθαι.

Καὶ μήν, ὦ φίλε Ἀγάθων, καλῶς μοι ἔδοξας καθηγή- 21
σασθαι τοῦ λόγου, λέγων ὅτι πρῶτον μὲν δέοι αὐτὸν ἐπιδεῖξαι ὁποῖός τίς ἐστιν ὁ Ἔρως, ὕστερον δὲ τὰ ἔργα αὐτοῦ. ταύτην τὴν ἀρχὴν πάνυ ἄγαμαι. ἴθι οὖν μοι περὶ Ἔρωτος, ἐπειδὴ
D καὶ τἆλλα καλῶς καὶ μεγαλοπρεπῶς διῆλθες οἷός ἐστι, καὶ τόδε εἰπέ· πότερόν ἐστι τοιοῦτος οἷος εἶναί τινος ὁ Ἔρως ἔρως ἢ οὐδενός; ἐρωτῶ δ' οὐκ εἰ μητρός τινος ἢ πατρός ἐστι — γελοῖον γὰρ ἂν εἴη τὸ ἐρώτημα, εἰ Ἔρως ἐστὶν ἔρως μητρὸς ἢ πατρός — ἀλλ' ὥσπερ ἂν εἰ αὐτὸ τοῦτο πατέρα ἐρώτων, ἆρα ὁ πατήρ ἐστι πατήρ τινος ἢ οὔ; εἶπες ἂν δή πού μοι, εἰ ἐβούλου καλῶς ἀποκρίνασθαι, ὅτι ἔστιν υἱέος γε ἢ θυγατρὸς ὁ πατὴρ πατήρ· ἢ οὔ; Πάνυ γε, φάναι τὸν Ἀγά-
E θωνα. Οὐκοῦν καὶ ἡ μήτηρ ὡσαύτως; Ὁμολογεῖσθαι καὶ τοῦτο. Ἔτι τοίνυν, εἰπεῖν τὸν Σωκράτη, ἀπόκριναι ὀλίγῳ πλείω, ἵνα

1 οὐ γὰρ ἂν ς οὐ γὰρ δὴ Cobetus nouu. lectt. p. 501 (mnemos. VII p. 14) | τοῖς γ' C | 2 εἰδόσιν V | 3 ᾔδειν ἄρα C | οὐ δ' Sauppius: οὐδ' BVC | ὁμολόγησα V | 5 num ἐγκωμιάσω? | 6 τά γ' C | 8 ὀφλῶ V | 9 δέει Bekkerus: δέῃ BVC | περὶ — λεγόμενα del. R. B. Hirschigius ztschr. f. d. alterth. wiss. 1851 p. 332 | 10 ὀνόμασει ς prob. Bastius krit. uers. p. 137 Schaeferus ad Dion. Hal. uerb. comp. p. 28 | ὅποια B | δ' ἄν C δὴ ἄν Stallbaumius | 12 τοιαύτῃ C corr. c | 13 σμικράττα B | 22 τόδ' C | 25 ἂν αὐτὸ εἰ C | 29 ὁμολογῆσαι ς ὁμολογεῖν Stallbaumius

4 *Euripid. Hippol. 612* ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.



μᾶλλον καταμάθῃς ὃ βούλομαι. εἰ γὰρ ἐροίμην, τί δέ; ἀδελφός, αὐτὸ τοῦτο ὅπερ ἔστιν, ἔστι τινὸς ἀδελφὸς ἢ οὔ; Φάναι εἶναι. Οὐκοῦν ἀδελφοῦ ἢ ἀδελφῆς; Ὁμολογεῖν. Πειρῶ δή, φάναι, καὶ τὸν ἔρωτα εἰπεῖν. ὁ Ἔρως ἔρως ἐστὶν οὐδενὸς ἢ τινός; Πάνυ μὲν οὖν ἔστιν. Τοῦτο μὲν τοίνυν, εἰπεῖν τὸν Σω- 200
κράτη, φύλαξον παρὰ σαυτῷ μεμνημένος ὅτου· τοσόνδε δὲ εἰπέ, πότερον ὁ Ἔρως ἐκείνου, οὗ ἔστιν ἔρως, ἐπιθυμεῖ αὐτοῦ ἢ οὔ; Πάνυ γε, φάναι. Πότερον ἔχων αὐτὸ οὗ ἐπιθυμεῖ τε καὶ ἐρᾷ, εἶτα ἐπιθυμεῖ τε καὶ ἐρᾷ, ἢ οὐκ ἔχων; Οὐκ ἔχων, ὡς τὸ εἰκός γε, φάναι. Σκόπει δή, εἰπεῖν τὸν Σωκράτη, ἀντὶ τοῦ εἰκότος εἰ ἀνάγκη οὕτως, τὸ ἐπιθυμοῦν ἐπιθυμεῖν οὗ ἐνδεές ἐστιν, ἢ μὴ ἐπιθυμεῖν, ἐὰν μὴ ἐνδεὲς ᾖ; ἐμοὶ μὲν γὰρ θαυμα- B
στῶς δοκεῖ, ὦ Ἀγάθων, ὡς ἀνάγκη εἶναι· σοὶ δὲ πῶς; Κἀμοί, φάναι, δοκεῖ. Καλῶς λέγεις. ἆρ' οὖν βούλοιτ' ἄν τις μέγας ὢν μέγας εἶναι, ἢ ἰσχυρὸς ὢν ἰσχυρός; Ἀδύνατον ἐκ τῶν ὡμολογημένων. Οὐ γάρ που ἐνδεὴς ἂν εἴη τούτων ὅ γε ὤν. Ἀληθῆ λέγεις. Εἰ γὰρ καὶ ἰσχυρὸς ὢν βούλοιτο ἰσχυρὸς εἶναι, φάναι τὸν Σωκράτη, καὶ ταχὺς ὢν ταχύς, καὶ ὑγιὴς ὢν ὑγιής — ἴσως γὰρ ἄν τις ταῦτα οἰηθείη καὶ πάντα τὰ τοιαῦτα τοὺς ὄντας τε τοιούτους καὶ ἔχοντας ταῦτα τούτων ἅπερ ἔχουσι C
καὶ ἐπιθυμεῖν, ἵν' οὖν μὴ ἐξαπατηθῶμεν, τούτου ἕνεκα λέγω· τούτοις γάρ, ὦ Ἀγάθων, εἰ ἐννοεῖς, ἔχειν μὲν ἕκαστα τούτων ἐν τῷ παρόντι ἀνάγκη ἃ ἔχουσιν, ἐάν τε βούλωνται ἐάν τε μή, καὶ τούτου γε δή που τίς ἂν ἐπιθυμήσειεν; ἀλλ' ὅταν τις λέγῃ ὅτι ἐγὼ ὑγιαίνων βούλομαι καὶ ὑγιαίνειν, καὶ πλουτῶν βούλομαι καὶ πλουτεῖν, καὶ ἐπιθυμῶ αὐτῶν τούτων ἃ ἔχω, εἴποιμεν ἂν αὐτῷ ὅτι σύ, ὦ ἄνθρωπε, πλοῦτον κεκτημένος καὶ ὑγίειαν καὶ ἰσχὺν βούλει καὶ εἰς τὸν ἔπειτα χρόνον ταῦτα κεκτῆσθαι, D
ἐπεὶ ἐν τῷ γε νῦν παρόντι, εἴτε βούλει εἴτε μή, ἔχεις· σκόπει οὖν, ὅταν τοῦτο λέγῃς, ὅτι ἐπιθυμῶ τῶν παρόντων, εἰ ἄλλο τι λέγεις ἢ τόδε, ὅτι βούλομαι τὰ νῦν παρόντα καὶ εἰς τὸν ἔπειτα χρόνον παρεῖναι· ἄλλο τι ὁμολογοῖ ἄν; Συμφάναι ἔφη τὸν Ἀγάθωνα. εἰπεῖν δὴ τὸν Σωκράτη Οὐκοῦν τοῦτό γ' ἐστὶν ἐκείνου ἐρᾶν, ὃ οὔπω ἕτοιμον αὐτῷ ἐστιν οὐδὲ ἔχει, τὸ εἰς

1 τί δαί C | ἀδελφός Cobetus nouu. lect. p. 320 (mnemos. VI p. 166) | 2 τοῦθ' C | 5 ἔστι V | 15 ὁμολογημένων V | 17 εἰ δ' ἄρα et 19 ἴσως ἄρ' Stallbaumius exemplo suo adscripsit | 19 ταυτὶ C | 22 τούτους ς | 25 καὶ ante ὑγιαίνειν erasum C | 29 ἔχῃς BV | 32 ὁμολογοι B ὁμολογοῖ$^{\sigma}$ b ὁμολογοῖ' Stephanus | 33 οὐκοῦν δὲ C οὐκοῦν δὴ ς | 34 τὰ BV

E τὸν ἔπειτα χρόνον ταῦτα εἶναι αὐτῷ σωζόμενά † μοι παρόντα; Πάνυ γε, φάναι. Καὶ οὗτος ἄρα καὶ ἄλλος πᾶς ὁ ἐπιθυμῶν τοῦ μὴ ἑτοίμου ἐπιθυμεῖ καὶ τοῦ μὴ παρόντος, καὶ ὃ μὴ ἔχει καὶ ὃ μὴ ἔστιν αὐτὸς καὶ οὗ ἐνδεής ἐστι, τοιαῦτ' ἄττα ἐστὶν ὧν ἡ ἐπιθυμία τε καὶ ὁ ἔρως ἐστίν; Πάνυ γ', εἰπεῖν. Ἴθι δή, φάναι τὸν Σωκράτη, ἀνομολογησώμεθα τὰ εἰρημένα. ἄλλο τι ἔστιν ὁ Ἔρως πρῶτον μὲν τινῶν, ἔπειτα τούτων ὧν ἂν ἔνδεια 201 παρῇ αὐτῷ; Ναί, φάναι. Ἐπὶ δὴ τούτοις ἀναμνήσθητι, τίνων ἔφησθα ἐν τῷ λόγῳ εἶναι τὸν Ἔρωτα· εἰ δὲ βούλει, ἐγώ σε ἀναμνήσω. οἶμαι γάρ σε οὑτωσί πως εἰπεῖν, ὅτι τοῖς θεοῖς κατεσκευάσθη τὰ πράγματα δι' ἔρωτα καλῶν· αἰσχρῶν γὰρ οὐκ εἴη ἔρως. οὐχ οὑτωσί πως ἔλεγες; Εἶπον γάρ, φάναι τὸν Ἀγάθωνα. Καὶ ἐπιεικῶς γε λέγεις, ὦ ἑταῖρε, φάναι τὸν Σωκράτη· καὶ εἰ τοῦτο οὕτως ἔχει, ἄλλο τι ὁ Ἔρως κάλλους ἂν εἴη ἔρως, αἴσχους δὲ οὔ; Ὡμολόγει. Οὐκοῦν ὡμολόγηται, οὗ B ἐνδεής ἐστι καὶ μὴ ἔχει, τούτου ἐρᾶν; Ναί, εἰπεῖν. Ἐνδεὴς ἄρ' ἐστὶ καὶ οὐκ ἔχει ὁ Ἔρως κάλλος. Ἀνάγκη, φάναι. Τί δέ; τὸ ἐνδεὲς κάλλους καὶ μηδαμῇ κεκτημένον κάλλος ἆρα λέγεις σὺ καλὸν εἶναι; Οὐ δῆτα. Ἔτι οὖν ὁμολογεῖς Ἔρωτα καλὸν εἶναι, εἰ ταῦτα οὕτως ἔχει; καὶ τὸν Ἀγάθωνα εἰπεῖν Κινδυνεύω, ὦ Σώκρατες, οὐδὲν εἰδέναι ὧν τότε εἶπον. Καὶ μὴν C καλῶς γε εἶπες, φάναι, ὦ Ἀγάθων. ἀλλὰ σμικρὸν ἔτι εἰπέ· τἀγαθὰ οὐ καὶ καλὰ δοκεῖ σοι εἶναι; Ἔμοιγε. Εἰ ἄρα ὁ Ἔρως τῶν καλῶν ἐνδεής ἐστι, τὰ δὲ ἀγαθὰ καλά, κἂν τῶν ἀγαθῶν ἐνδεὴς εἴη. Ἐγώ, φάναι, ὦ Σώκρατες, σοὶ οὐκ ἂν δυναίμην ἀντιλέγειν, ἀλλ' οὕτως ἐχέτω ὡς σὺ λέγεις. Οὐ μὲν οὖν τῇ ἀληθείᾳ, φάναι, ὦ φιλούμενε Ἀγάθων, δύνασαι ἀντιλέγειν, ἐπεὶ Σωκράτει γε οὐδὲν χαλεπόν.

D Καὶ σὲ μέν γε ἤδη ἐάσω· τὸν δὲ λόγον τὸν περὶ τοῦ 22 Ἔρωτος, ὅν ποτ' ἤκουσα γυναικὸς μαντινικῆς Διοτίμας, ἣ ταῦτά τε σοφὴ ἦν καὶ ἄλλα πολλά, καὶ Ἀθηναίοις ποτὲ θυσαμένοις πρὸ τοῦ λοιμοῦ δέκα ἔτη ἀναβολὴν ἐποίησε τῆς νόσου, ἣ δὴ καὶ ἐμὲ τὰ ἐρωτικὰ ἐδίδαξεν — ὃν οὖν ἐκείνη ἔλεγε λό-

1 ταῦτ' C | καὶ παρόντα C τὰ νῦν παρόντα ς del. Hermannus τὰ μὴ παρόντα Sauppius | 2 ὁ ἄλλος C | 3 ἔχῃ BV | 4 ἄττ' C | 5 ὃ ἡ BV | ἐστι C | 6 ἀνομολογησόμεθα V | 8 ἐπεὶ V | 11 αἰσχρὸν V | 15 δ' οὔ C | 16 ἔχῃ BV | 17 ἐστι B | τί δαί C | 18 ἄρα B | 20 ταῦθ' C | 27 οὐ δύνασαι Sauppius | 30 μαντικῆς edd. uett. | 31 θυσαμένη Stephanus

30 *Procl. in Plat. de re p. p. 420* καὶ τοῦτο Τιμαίῳ γνώριμον καὶ εὐπαράδεκτον εἰδότι τοὺς βίους τῶν Πυθαγορείων γυναικῶν, τῆς Θεανοῦς, τῆς τε Μύχας ⟨*l.* τῆς Τιμύχας cl. Iambl. uit. Pyth. 36⟩, τῆς Διοτίμας αὐτῆς. *p. 421* εἰ δέ ἐστι ἀληθὲς τὸ καὶ εἰς θηλείας ἰέναι ψυχὰς θεοειδεῖς, τίς μηχανὴ μὴ καὶ τὰς ἀρετὰς αὐτῶν εἶναι κοινάς; ἢ μαντικὰς μὲν γενέσθαι γυναῖκας, ὡς καὶ ἄνδρας κατόχους τοῖς μαντῴοις θεοῖς, ὡς τὰς προφήτιδας δώσομεν καὶ τελεστικὰς ἄλλας, ὡς τὴν Διοτίμαν τὴν Πλάτωνος, ὡς τὴν Θεοξέναν τῶν βαρβάρων, ὡς τὴν Βερενίκην, ἄλλην ταύτην μαγείας διδάσκαλον, σωφροσύνην δὲ καὶ ἀνδρείαν καὶ γνῶσιν αὐτῶν ἀφαιρήσομεν; *Aristid. or. 46 II p. 127* ὥσπερ ἡ Διοτίμα δέκα ἔτη τῆς νόσου δυνηθεῖσα ἀναβαλέσθαι τῇ πόλει εἰς εὐεργεσίας μέρος, οἶμαι, κατέθετο καὶ οὐδεὶς ἐκείνην αἰτιᾶται τῶν ὕστερον συμβάντων, ἀλλὰ τοῦ μὲν μὴ πρότερον συμβῆναι πάντες ἂν εἰκότως, τοῦ δὲ ὅλως οὐδείς. οὐ γὰρ ἐκείνη ταῦτα ἐποίησεν, ἀλλ' εἰς ὅσον ἐξῆν ἐκώλυσεν· ὥστ' οὐδ' ἂν συμβεβηκὸς εἴη τὴν ἀρχὴν τό γε ἐκείνης μέρος. σὺ δὲ μαντινικὴν μὲν ξένην καὶ μιλησίαν ⟨Menex. p. 235 E⟩ ἐπίστασαι κοσμεῖν καὶ οὕστινας ἄν σοι δοκῇ πάνυ ῥᾳδίως μεγάλων ἠξίωσας, τῶν δὲ Ἑλλήνων τοὺς ἄκρους καὶ παρὰ πᾶσι βεβοημένους ἐν φαύλῳ καθαιρεῖς, οὐδὲν διαφερόντως ἢ εἴ τίς τινα τῶν μαγείρων ὡς ἀληθῶς ἢ καὶ ἄλλο τι τῶν τυχόντων ἀνδραπόδων. *schol. Aristid. t. III p. 468* μεῖζον ἐπήγαγε παράδειγμα τὴν Διοτίμαν τοῦ ἰατροῦ. αὕτη γάρ, τελεστικὴ φιλόσοφος οὖσα, μέλλοντος λοιμοῦ κατασκήψειν τῇ πόλει, σοφίᾳ τινὶ καὶ ἐπιστήμῃ λέγεται ἀναβολὴν ποιῆσαι τῆς νόσου. — μαντινικὴν ξένην· αὐτὴν πάλιν σημαίνει Διοτίμαν· ἀπὸ γὰρ Μαντινείας τῆς Ἀρκαδίας ἦν. μιλησίαν δέ φησι τὴν Ἀσπασίαν. ταύτην δὲ θαυμάζει ὡς διδάσκαλον οὖσαν ῥητορικῆς. ἡ δὲ Διοτίμα ἱέρεια γέγονε τοῦ λυκαίου Διὸς τοῦ ἐν Ἀρκαδίᾳ. αὕτη δέ, μελλούσης τῆς νόσου, ἧς Θουκυδίδης ⟨II, 47⟩ μέμνηται, ἐπισκήπτειν τοῖς Ἀθηναίοις, εὐξαμένη ἐκώλυσεν αὐτὴν εἰσελθεῖν ἐπὶ δέκα ἔτη. *Lucian. imag. 18* δεύτερον δὲ καὶ τρίτον παράδειγμα Θεανώ τε ἐκείνη καὶ ἡ λεσβία μελοποιός, καὶ Διοτίμα ἐπὶ ταύταις, ἡ μὲν τὸ μεγαλόνουν, ἡ Θεανώ, συμβαλλομένη εἰς τὴν γραφήν, ἡ Σαπφὼ δὲ τὸ γλαφυρὸν τῆς προαιρέσεως. τῇ Διοτίμᾳ δὲ οὐχ ἃ Σωκράτης ἐπῄνεσεν αὐτὴν ἐοικυῖα ἔσται μόνον, ἀλλὰ καὶ τὴν ἄλλην σύνεσίν τε καὶ εὐβουλίαν. *Himer. decl. I, 18* ἐλέγχει δὲ οὐδὲ αὐτῇ τῇ φύσει τὸ γένος· παρίστησι γὰρ τὴν Ἀσπασίαν τοῖς λόγοις· τοσοῦτον δὲ σοφίᾳ τὴν μαντινικὴν ξένην νικᾷ, ὅσον Ἀθηναίων Ἀρκάδες λείπονται. *Max. Tyr. 24, 4* ἐπεὶ ταύτῃ βασανιστέον τε καὶ ἀθρητέον τὸν ἐρωτικὸν καὶ λόγον καὶ ἄνδρα, ἐπιτολμητέον τοι καὶ περὶ Σωκράτους ἐκλογίσασθαι, τί ἦν αὐτῷ ταυτὶ τὰ θρυλούμενα ἐν τοῖς λόγοις, ὁποῖα ἄττα φησὶ περὶ αὐτοῦ ἐκεῖνος· ὅτι ἐστὶ θεράπων τοῦ Ἔρωτος ⟨Xenoph. conu. 8, 1⟩, καὶ λευκὴ σταθμὴ πρὸς τοὺς καλοὺς ⟨Charm. p. 154 B⟩, καὶ τὴν τέχνην δεινός ⟨Theag. p. 128 B⟩. ἀλλὰ καὶ διδασκάλους ἐπιγέγραπται τῆς τέχνης, Ἀσπασίαν τὴν μιλησίαν καὶ

γον, πειράσομαι ὑμῖν διελθεῖν ἐκ τῶν ὡμολογημένων ἐμοὶ καὶ Ἀγάθωνι, αὐτὸς ἐπ' ἐμαυτοῦ, ὅπως ἂν δύνωμαι. δεῖ δή, ὦ Ἀγάθων, ὥσπερ σὺ διηγήσω, διελθεῖν αὐτὸν πρῶτον, τίς ἐστιν E ὁ Ἔρως καὶ ποῖός τις, ἔπειτα τὰ ἔργα αὐτοῦ. δοκεῖ οὖν μοι ῥᾷστον εἶναι οὕτω διελθεῖν, ὥς ποτέ με ἡ ξένη ἀνακρίνουσα διῄει. σχεδὸν γάρ τι καὶ ἐγὼ πρὸς αὐτὴν ἕτερα τοιαῦτα ἔλεγον, οἷάπερ νῦν πρὸς ἐμὲ Ἀγάθων, ὡς εἴη ὁ Ἔρως μέγας θεός, εἴη δὲ τῶν καλῶν· ἤλεγχε δή με τούτοις τοῖς λόγοις οἷσπερ ἐγὼ τοῦτον, ὡς οὔτε καλὸς εἴη κατὰ τὸν ἐμὸν λόγον οὔτε ἀγαθός. καὶ ἐγώ Πῶς λέγεις, ἔφην, ὦ Διοτίμα; αἰσχρὸς ἄρα ὁ Ἔρως ἐστὶ καὶ κακός; καὶ ἥ Οὐκ εὐφημήσεις; ἔφη· ἦ 202 οἴει, ὅ τι ἂν μὴ καλὸν ᾖ, ἀναγκαῖον αὐτὸ εἶναι αἰσχρόν; Μάλιστά γε. Ἦ καὶ ἂν μὴ σοφόν, ἀμαθές; ἢ οὐκ ᾔσθησαι ὅτι ἔστι τι μεταξὺ σοφίας καὶ ἀμαθίας; Τί τοῦτο; Τὸ ὀρθὰ δοξάζειν καὶ ἄνευ τοῦ ἔχειν λόγον δοῦναι οὐκ οἶσθ', ἔφη, ὅτι οὔτε ἐπίστασθαί ἐστιν — ἄλογον γὰρ πρᾶγμα πῶς ἂν εἴη ἐπιστήμη; — οὔτε ἀμαθία — τὸ γὰρ τοῦ ὄντος τυγχάνον πῶς ἂν εἴη ἀμαθία; ἔστι δὲ δή που τοιοῦτον ἡ ὀρθὴ δόξα μεταξὺ φρονήσεως καὶ ἀμαθίας. Ἀληθῆ, ἦν δ' ἐγώ, λέγεις. Μὴ τοίνυν ἀνάγκαζε, ὃ B μὴ καλόν ἐστιν, αἰσχρὸν εἶναι, μηδὲ ὃ μὴ ἀγαθόν, κακόν. οὕτω δὲ καὶ τὸν Ἔρωτα ἐπειδὴ αὐτὸς ὁμολογεῖς μὴ εἶναι ἀγαθὸν μηδὲ καλόν, μηδέν τι μᾶλλον οἴου δεῖν αὐτὸν αἰσχρὸν καὶ κακὸν εἶναι, ἀλλά τι μεταξύ, ἔφη, τούτοιν. Καὶ μήν, ἦν δ' ἐγώ, ὁμολογεῖταί γε παρὰ πάντων μέγας θεὸς εἶναι. Τῶν μὴ εἰδότων, ἔφη, πάντων λέγεις, ἢ καὶ τῶν εἰδότων; Ξυμπάντων μὲν οὖν. καὶ ἣ γελάσασα Καὶ πῶς ἄν, ἔφη, ὦ Σώκρατες, ὁμολο-

2 ἐπ' C Bastius krit. uers. p. 63: ἀπ' cB ὑπ' V | δείλη BV δεῖλοπ.. v | 3 καθηγήσω uel ὑφηγήσω Sauppius | 12 καλὸν εἴη V | 13 ἦ καὶ ὅτι ἂν Stephanus | ἦ καὶ ἂν οἴοιο μὴ σοφὸν ἀμαθές; Hommelius | ἢ οὐκ C | 14 ὀρθοδοξάζειν BV | 17 οὔτ' C | τυγχάνων V

*Διοτίμαν τὴν μαντινικήν. 24, 7 τὸν δὲ ἐν τῷ συμποσίῳ λόγον, εἰς Ἔρωτα ἔπαινον, μαντινικῇ γυναικὶ ἀνατίθησιν· ἀλλὰ εἴτε μαντινική, εἴτε καὶ λεσβία τις ἦν τοῦ λόγου μήτηρ, πάντως γε οὐκ ἴδιοι τοῦ Σωκράτους ἐρωτικοὶ λόγοι, οὐδὲ πρῶτον. 38, 4 καὶ αὐτὸς τηλικοῦτος ὢν παρ' ἐκείνην φοιτᾷς, καὶ οὐδὲ αὕτη σοι ἀρκεῖ διδάσκαλος, ἀλλ' ἐρανίζῃ παρὰ μὲν Διοτίμας τὰ ἐρωτικά, παρὰ δὲ .... Clem. Alex. str. VI p. 268, 9 ἥ τε μαντινικὴ Διοτίμα θυσαμένοις Ἀθηναίοις πρὸ τοῦ λοιμοῦ ι' ἔτη ἀναβολὴν ἐποιήσατο τῆς νόσου.* | 14 *schol. B τὸ μεταξὺ ἐπιστήμης καὶ ἀμαθείας ἡ ὀρθὴ δόξα κἂν λόγον μὴ ἔχῃ.*



γοῖτο μέγας θεὸς εἶναι παρὰ τούτων, οἵ φασιν αὐτὸν οὐδὲ θεὸν C εἶναι; Τίνες οὗτοι; ἦν δ' ἐγώ. Εἷς μέν, ἔφη, σύ, μία δ' ἐγώ. κἀγὼ εἶπον Πῶς τοῦτο, ἔφην, λέγεις; καὶ ἥ Ῥᾳδίως, ἔφη. λέγε γάρ μοι, οὐ πάντας θεοὺς φῂς εὐδαίμονας εἶναι καὶ καλούς; ἢ τολμήσαις ἄν τινα μὴ φάναι καλόν τε καὶ εὐδαίμονα θεῶν εἶναι; Μὰ Δί' οὐκ ἔγωγ', ἔφην. Εὐδαίμονας δὲ δὴ λέγεις οὐ τοὺς τἀγαθὰ καὶ τὰ καλὰ κεκτημένους; Πάνυ γε. Ἀλλὰ μὴν Ἔρωτά γε ὡμολόγηκας δι' ἔνδειαν τῶν ἀγαθῶν καὶ καλῶν D ἐπιθυμεῖν αὐτῶν τούτων ὧν ἐνδεής ἐστιν. Ὡμολόγηκα γάρ. Πῶς ἂν οὖν θεὸς εἴη ὅ γε τῶν καλῶν καὶ ἀγαθῶν ἄμοιρος; Οὐδαμῶς, ὥς γ' ἔοικεν. Ὁρᾷς οὖν, ἔφη, ὅτι καὶ σὺ Ἔρωτα οὐ 23 θεὸν νομίζεις; Τί οὖν ἄν, ἔφην, εἴη ὁ Ἔρως; θνητός; Ἥκιστά γε. Ἀλλὰ τί μήν; Ὥσπερ τὰ πρότερα, ἔφη, μεταξὺ θνητοῦ καὶ ἀθανάτου. Τί οὖν, ὦ Διοτίμα; Δαίμων μέγας, ὦ Σώκρατες· καὶ γὰρ πᾶν τὸ δαιμόνιον μεταξύ ἐστι θεοῦ τε καὶ E

3 καὶ ἐγὼ C | 5 φάναι in rasura B | 6 εὐδαίμονας — p. 49, 9 ὁ Ἔρως l. Ioa. Stob. ecl. phys. I, 9, 17 | 7 οὐ τὰς Ioa. Stob. | 10 πῶς δ' ἂν C | ὅ γε γ' ὢν BV | 11 ὥστ' ἔοικεν Ioa. Stob. | 13 ἔφην B | 14 τε καὶ C

14 *Proclus in Alcib. I p. 64 ἔτι δὲ καὶ αὐτὸς ὁ Ἔρως δαίμων ἐστὶ μέγας, ὥς φησιν ἡ Διοτίμα, καθ' ὅσον δὴ τὴν μεσότητα συμπληροῖ πάντων τε τῶν ἐραστῶν καὶ τῶν σπευδόντων ἐπ' ἐκεῖνα διὰ τοῦ ἔρωτος. τὸ γὰρ ἐραστὸν τὴν πρώτην ἔχει τάξιν, τὸ δ' ἐρᾶν ἐκείνου τὴν τρίτην, τὸ δὲ μέσον ἀμφοῖν ὁ ἔρως συμπληροῖ συνάγων καὶ συνδέων ἀλλήλοις τότε ἐφετὸν καὶ τὸ ἐφιέμενον ἐκείνου καὶ πληρῶν ἀπὸ τοῦ κρείττονος τὸ καταδεέστερον καὶ ἐν μὲν τοῖς νοητοῖς καὶ κρυφίοις θεοῖς ἐκνίζων τῷ πρώτῳ, καὶ κρυφίῳ κάλλει τὸν νοῦν τὸν νοητὸν κατά τινα νοήσεως κρείττονα ζωήν. p. 66 καί μοι δοκεῖ ὁ Πλάτων εὑρὼν παρ' Ὀρφεῖ τὸν αὐτὸν τοῦτον θεὸν καὶ Ἔρωτα καὶ δαίμονα μέγαν ἀποκαλούμενον ἀγαπῆσαι καὶ αὐτὸς ἐπὶ τοῦ Ἔρωτος τὸν τοιοῦτον ὕμνον. p. 67 εἰκότως ἄρα καὶ ἡ Διοτίμα δαίμονα μέγαν αὐτὸν ἀποκαλεῖ καὶ ὁ Σωκράτης συνάπτει τῷ περὶ ἔρωτος λόγῳ καὶ ἐραστῶν τὴν περὶ τοῦ Ἔρωτος καὶ τῆς δαιμονίας αἰτίας ἐπίδειξιν. ὥσπερ γὰρ ἅπαν τὸ δαιμόνιον ἐξήρτηται τῆς ἐρωτικῆς μεσότητος, οὕτω δὴ καὶ ὁ περὶ τοῦ δαίμονος λόγος συνέπεται τῷ περὶ τοῦ ἔρωτος καί ἐστιν ἐκείνῳ συγγενής· μέσος γὰρ καὶ ὁ Ἔρως ἐραστοῦ καὶ ἐρῶντος καὶ ὁ δαίμων ἀνθρώπου καὶ θεοῦ.* | 15 *Proclus in Alcib. I p. 46 καὶ ἔχει τὴν ἑτέραν διαίρεσιν ἐν συμποσίῳ· τὸ γὰρ δαιμόνιον ἐκεῖ πού φησι μέσον εἶναι θεῶν καὶ ἀνθρώπων. p. 63 τὰ γὰρ ἀπὸ θεῶν ἀγαθὰ τοῖς ἀνθρώποις ἥκει διὰ μέσου τῶν δαιμόνων, ὡς ὁ τῆς Διοτίμας λόγος. p. 73 ὁ μὲν γὰρ δαίμων ἕτερος ἀνθρώπου, καθάπερ ἥ τε Διοτίμα λέγει, μέσον τι θε-*

θνητοῦ. Τίνα, ἦν δ' ἐγώ, δύναμιν ἔχον; Ἑρμηνεῦον καὶ διαπορθμεῦον θεοῖς τὰ παρ' ἀνθρώπων καὶ ἀνθρώποις τὰ παρὰ θεῶν, τῶν μὲν τὰς δεήσεις καὶ θυσίας, τῶν δὲ τὰς ἐπιτάξεις τε καὶ ἀμοιβὰς τῶν θυσιῶν, ἐν μέσῳ δὲ ὂν ἀμφοτέρων συμ-

3 θυσίαις V | 4 ἐμμέσῳ Lobeckius ad Soph. Aiac. 836 | τὰ ὅλα συμπληροῖ Reyndersius | συμπληροῖ τὸ πᾶν, ὥστε αὐτὸ αὑτῷ ξυνδεδέσθαι Orellius ad Isocr. de permut. p. 331

μένη τοὺς δαίμονας θεῶν καὶ ἀνθρώπων. *Lactant. inst. diu. II, 14, 9* philosophi quoque de his ⟨daemonibus⟩ dixerunt. nam Plato etiam naturam eorum in symposio exprimere conatus est. *Minuc. Fel. Oct. 26* quid Plato, qui — in symposio etiam suo naturam daemonum exprimere conititur? uult enim esse substantiam inter mortalem inmortalemque, id est inter corpus et spiritum mediam, terreni ponderis et caelestis leuitatis admixtione concretam, ex qua monet etiam † nos pro cupidinem amoris et dicit informari et labi pectoribus humanis et sensum mouere et adfectus fingere et ardorem cupiditatis infundere. *Olympiod. in Alcib. I p. 22* καὶ τὸν Ἔρωτα δὲ ἐν τῷ συμποσίῳ ποτὲ μὲν θεὸν ποτὲ δὲ μέγαν καλεῖ δαίμονα. καὶ διὰ τί μὲν θεόν, σαφές· δαίμονα δὲ ὡς μέσον αὐτὸν προσαγορεύει· μέσος γάρ ἐστιν ὁ Ἔρως οὐσίας καὶ ἐνεργείας καὶ ἐρωμένου καὶ ἐραστοῦ· μέγαν δέ, ἐπειδὴ ὑπὲρ αἴσθησιν καὶ νοερῶς ἐνεργεῖ. *Hermias in Plat. Phaedr. p. 65* διὸ ἐν τῷ συμποσίῳ, ἐπειδὴ προηγούμενος ἦν ἐκεῖ ὁ περὶ αὐτοῦ ⟨τοῦ ἔρωτος⟩ λόγος, τὴν μεσότητα αὐτοῦ καὶ τὴν τάξιν παραδιδούς, μέγαν δαίμονα αὐτὸν κέκληκεν, ὡς δέοντα τὰ δεύτερα τοῖς πρώτοις. | 1 *Plut. de Is. et Os. 26 p. 361 B* ὅ τε Πλάτων ἑρμηνευτικὸν τὸ τοιοῦτον ὀνομάζει γένος καὶ διακονικὸν ἐν μέσῳ θεῶν καὶ ἀνθρώπων, εὐχὰς μὲν ἐκεῖ καὶ δεήσεις ἀνθρώπων ἀναπέμποντας, ἐκεῖθεν δὲ μαντεῖα δεῦρο καὶ δόσεις ἀγαθῶν φέροντας. *de def. orac. 13 p. 416 F* οὕτως οἱ δαιμόνων γένος μὴ ἀπολείποντες ἀνεπίμικτα τὰ τῶν θεῶν καὶ ἀνθρώπων ποιοῦσι καὶ ἀσυνάλλακτα, τὴν ἑρμηνευτικήν, ὡς Πλάτων ἔλεγεν, καὶ διακονικὴν ἀναιροῦντες φύσιν. *Aristid. 45 II p. 106* δοκεῖν δ' ἔμοιγε καὶ τὸ τῶν δαιμόνων γένος, εἰ δεῖ Πλάτωνι πιστεύειν, διαγγέλλον τε τοῖς θεοῖς τὰ παρ' ἀνθρώπων καὶ ἀνθρώποις τὰ παρὰ θεῶν ταύτῃ κεχρῆσθαι φημί. *Porphyr. de abst. II, 38* ἐν δὲ τούτοις ⟨δαίμοσιν ἀγαθοῖς⟩ ἀριθμητέον καὶ τοὺς πορθμεύοντας, ὥς φησιν Πλάτων, καὶ διαγγέλλοντας τὰ παρ' ἀνθρώπων θεοῖς καὶ τὰ παρὰ θεῶν ἀνθρώποις, τὰς μὲν παρ' ἡμῶν εὐχὰς ὡς πρὸς δικαστὰς ἀναφέροντας τοὺς θεούς, τὰς δὲ ἐκείνων παραινέσεις καὶ νουθεσίας μετὰ μαντειῶν ἐκφέροντας ἡμῖν. *Hermias in Plat. Phaedr. p. 65* πᾶν μὲν οὖν τὸ δαιμόνιον γένος εἴρηται καὶ παρ' αὐτῷ ἐν συμποσίῳ μεταξὺ εἶναι θεῶν καὶ ἀνθρώπων, διαπορθμεῦον τά τε παρὰ θεῶν εἰς ἡμᾶς, τά τε ἡμῶν ἀναγγέλλον τοῖς θεοῖς. | 4 *Poll. VI, 187* ἀμφίβολος δὲ ἡ ἀμοιβή. — καὶ παρὰ Πλάτωνι ἐν συμποσίῳ οὐ σαφές.



πληροῖ, ὥστε τὸ πᾶν αὐτὸ αὑτῷ ξυνδεδέσθαι. διὰ τούτου καὶ ἡ μαντικὴ πᾶσα χωρεῖ καὶ ἡ τῶν ἱερέων τέχνη τῶν τε περὶ τὰς θυσίας καὶ τὰς τελετὰς καὶ τὰς ἐπῳδὰς καὶ τὴν μαγγανείαν 203
πᾶσαν καὶ γοητείαν. θεὸς δὲ ἀνθρώπῳ οὐ μίγνυται, ἀλλὰ διὰ τούτου πᾶσά ἐστιν ἡ ὁμιλία καὶ ἡ διάλεκτος θεοῖς πρὸς ἀνθρώπους, καὶ ἐγρηγορόσι καὶ καθεύδουσι· καὶ ὁ μὲν περὶ τὰ τοιαῦτα σοφὸς δαιμόνιος ἀνήρ, ὁ δὲ ἄλλο τι σοφὸς ὤν, ἢ περὶ τέχνας ἢ χειρουργίας τινάς, βάναυσος. οὗτοι δὴ οἱ δαίμονες πολλοὶ καὶ παντοδαποί εἰσιν, εἷς δὲ τούτων ἐστὶ καὶ ὁ Ἔρως. Πατρὸς δέ, ἦν δ' ἐγώ, τίνος ἐστὶ καὶ μητρός; Μακρότερον μέν, ἔφη, διηγήσασθαι· ὅμως δέ σοι ἐρῶ. ὅτε γὰρ ἐγένετο ἡ Ἀφρο- B

3 καὶ τελετὰς C | μαγγανείαν Geelius apud Kappeynum van de Copello obss. in Xenoph. Hieron. p. 33 sq.: μαντείαν BVC Ioa. Stob. | 5 ἀνθρώπους καὶ ἀνθρώποις πρὸς θεοὺς καὶ Heusdius spec. crit. p. 65 | 7 περὶ τέχνας om. Ioa. Stob. | 10 ἐγώ, καὶ μητρὸς τίνος ἐστί C | 11 ὅτε γὰρ — p. 50, 7 Ἔρωτα l. Eusebius praep. euang. XII, 11 sq. ὅτε γὰρ — p. 51, 5 ἐν μέσῳ ἐστίν l. Origenes c. Cels. IV p. 289 sq. Sp. ὅτε γὰρ — p. 50, 2 Πόρος l. Hermogenes π. ἰδ. II, 4 t. III p. 323 W.

1 *Apul. apol. 43* quamquam Platoni credam, inter deos atque homines natura et loco medias quasdam diuorum potestates intersitas easque diuinationes cunctas et magorum miracula gubernare. | 4 *de deo Socr. 4* nam, ut idem Plato ait, nullus deus miscetur hominibus, sed hoc praecipuum eorum sublimitatis est specimen, quod nulla adtrectatione nostra contaminatur. *5* atqui si Platonis uera sententia est numquam se deum cum homine communicare, facilius me audierit lapis quam Iuppiter. *6* ceterum sunt quaedam diuinae mediae potestates inter summum aethera et infimas terras in isto intersitae spatio, per quas et desideria nostra et merita ad deos commeant. hos Graeci nomine δαίμονας nuncupant, inter homines caelicolasque uectores hinc precum inde donorum, qui ultro citro portant hinc petitiones inde suppetias, ceu quidam utriusque interpretes et salutigeri. per hos eosdem, ut Plato in symposio autumat, cuncta denuntiata et magorum uaria miracula omnesque praesagiorum species reguntur. *Augustin. de ciu. dei VIII, 18* frustra igitur eis ⟨daemonibus⟩ Apuleius et quicumque ita sentiunt hunc detulit honorem, sic eos in aere medios inter aetherium caelum terramque constituens, ut, quoniam 'nullus deus miscetur homini', quod Platonem dixisse perhibent, isti ad deos perferant preces hominum et inde ad homines inpetrata quae poscunt. | 5 *Clem. Alex. strom. I p. 146* ὁ Πλάτων δὲ καὶ τοῖς θεοῖς διάλεκτον ἀπονέμει τινά, μάλιστα μὲν ἀπὸ τῶν ὀνειράτων τεκμαιρόμενος καὶ τῶν χρησμῶν, ἄλλως δὲ καὶ ἀπὸ τῶν δαιμονώντων, οἳ τὴν αὐτῶν οὐ φθέγγονται φωνὴν οὐδὲ διάλεκτον, ἀλλὰ τὴν τῶν ὑπεισιόντων δαιμόνων. | 8 *Proclus in Alcib. I p. 72* πολλῶν τοίνυν καὶ παντοδαπῶν, ὥσπερ ἡ Διοτίμα φησί, τῶν δαιμόνων ὄντων.

δίτη, εἱστιῶντο οἱ θεοί, οἵ τε ἄλλοι καὶ ὁ τῆς Μήτιδος υἱὸς
Πόρος. ἐπειδὴ δὲ ἐδείπνησαν, προσαιτήσουσα οἷον δὴ εὐωχίας
οὔσης ἀφίκετο ἡ Πενία καὶ ἦν περὶ τὰς θύρας. ὁ οὖν Πόρος
μεθυσθεὶς τοῦ νέκταρος — οἶνος γὰρ οὔπω ἦν — εἰς τὸν τοῦ
Διὸς κῆπον εἰσελθὼν βεβαρημένος ηὗδεν. ἡ οὖν Πενία ἐπιβου-
λεύουσα διὰ τὴν αὑτῆς ἀπορίαν παιδίον ποιήσασθαι ἐκ τοῦ
C Πόρου, κατακλίνεταί τε παρ' αὐτῷ καὶ ἐκύησε τὸν Ἔρωτα. διὸ
δὴ καὶ τῆς Ἀφροδίτης ἀκόλουθος καὶ θεράπων γέγονεν ὁ Ἔρως,
γεννηθεὶς ἐν τοῖς ἐκείνης γενεθλίοις, καὶ ἅμα φύσει ἐραστὴς
ὢν περὶ τὸ καλόν, καὶ τῆς Ἀφροδίτης καλῆς οὔσης. ἅτε οὖν
Πόρου καὶ Πενίας υἱὸς ὢν ὁ Ἔρως ἐν τοιαύτῃ τύχῃ καθέστηκε.
πρῶτον μὲν πένης ἀεί ἐστι, καὶ πολλοῦ δεῖ ἁπαλός τε καὶ κα-
λός, οἷον οἱ πολλοὶ οἴονται, ἀλλὰ σκληρὸς καὶ αὐχμηρὸς καὶ
D ἀνυπόδητος καὶ ἄοικος, χαμαιπετὴς ἀεὶ ὢν καὶ ἄστρωτος, ἐπὶ
θύραις καὶ ἐν ὁδοῖς ὑπαίθριος κοιμώμενος, τὴν τῆς μητρὸς
φύσιν ἔχων, ἀεὶ ἐνδείᾳ ξύνοικος. κατὰ δὲ αὖ τὸν πατέρα ἐπί-
βουλός ἐστι τοῖς καλοῖς καὶ τοῖς ἀγαθοῖς, ἀνδρεῖος ὢν καὶ ἴτης
καὶ σύντονος, θηρευτὴς δεινός, ἀεί τινας πλέκων μηχανάς, καὶ
φρονήσεως ἐπιθυμητὴς καὶ πόριμος, φιλοσοφῶν διὰ παντὸς
[τοῦ βίου], δεινὸς γόης καὶ φαρμακεὺς καὶ σοφιστής· καὶ οὔτε

1 ἠστιῶντο BV | 2 Πατρός V | προσαίτης οὖσα BV Origenes | 6 παιδοποιήσασθαι Naberus obss. critt. in Plat. p. 19 | 9 ἐκείνοις V | 12 πενίης αἰεί BV | 14 αἰεί BV | 15 ὑπαιθρίοις C | 18 αἰεί BV | ἀεὶ προσπλέκων Origenes | μηχανὰς πλέκων C | 19 πορισμὸς φιλοσόφων BV

3 *Porphyr. de antro nymph. 16* παρὰ δὲ τῷ Ὀρφεῖ ὁ Κρόνος μέλιτι ὑπὸ Διὸς ἐνεδρεύεται· πλησθεὶς γὰρ μέλιτος μεθύει καὶ σκοτοῦται ὡς ἀπὸ οἴνου καὶ ὑπνοῖ, ὡς παρὰ Πλάτωνι ὁ Πόρος τοῦ νέκταρος πλησθείς, οὔπω γὰρ οἶνος ἦν. | 8 *Max. Tyr. 24, 9* τὸν Ἔρωτά φησιν ἡ Διοτίμα τῷ Σωκράτει οὐ παῖδα ἀλλὰ ἀκόλουθον τῆς Ἀφροδίτης καὶ θεράποντα εἶναι· λέγει που καὶ Σαπφοῖ ἡ Ἀφροδίτη ἐν ᾄσματι ⟨fr. 74⟩ ʽσύ τε καλὸς ⟨κἀμὸς Bergkius⟩ θεράπων Ἔρωςʼ. | 17 *schol.* ἴτης· ἴστωρ, ἐπιστήμων, ὡς ἐνταῦθα. λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ ἰταμοῦ καὶ θρασέος. *Hesych.* ἴτης· ἰταμός, θρασύς, ἰσχυρός. ἢ ἴστωρ καὶ ἐπιστήμων. | 19 *Hermias in Plat. Phaedr. p. 97* εἶπε γὰρ αὐτὸν καὶ ἐν συμποσίῳ τὸν Ἔρωτα φιλόσοφον καὶ δεινὸν γόητα καὶ φαρμακέα καὶ σοφιστήν. φιλόσοφον μὲν ὡς τὸ λογικὸν ἡμῶν διεγείροντα ἐπὶ τὰ καλά· γόητα δὲ ὡς τὸν θυμὸν καταστέλλοντα· φαρμακέα δὲ ὡς τὸ ἐπιθυμητικὸν κηλοῦντα· σοφιστὴν δὲ ὡς τὴν φύσιν ἀπατῶντα καὶ δολεάζοντα. | 20 *Max. Tyr. 24, 9* τὸν Ἔρωτα Σωκράτης σοφιστὴν λέγει, Σαπφὼ μυθοπλόκον ⟨fr. 125⟩. *Procl. in Cratyl. p. 94, 158* ὅτι οἶδεν ὁ



ὡς ἀθάνατος πέφυκεν οὔτε ὡς θνητός, ἀλλὰ τότε μὲν τῆς αὐ- E
τῆς ἡμέρας θάλλει καὶ ζῇ, [ὅταν εὐπορήσῃ,] τότε δὲ ἀποθνή-
σκει, πάλιν δὲ ἀναβιώσκεται διὰ τὴν τοῦ πατρὸς φύσιν, τὸ δὲ
ποριζόμενον ἀεὶ ὑπεκρεῖ· ὥστε οὔτε ἀπορεῖ Ἔρως ποτὲ οὔτε
πλουτεῖ, σοφίας δὲ καὶ ἀμαθίας ἐν μέσῳ ἐστίν. ἔχει γὰρ ὧδε.
θεῶν οὐδεὶς φιλοσοφεῖ οὐδ' ἐπιθυμεῖ σοφὸς γενέσθαι· ἔστι 204
γάρ· οὐδ' εἴ τις ἄλλος σοφός, οὐ φιλοσοφεῖ. οὐδ' αὖ οἱ ἀμα-
θεῖς φιλοσοφοῦσιν οὐδ' ἐπιθυμοῦσι σοφοὶ γενέσθαι· αὐτὸ γὰρ
τοῦτό ἐστι χαλεπὸν ἀμαθία, τὸ μὴ ὄντα καλὸν κἀγαθὸν μηδὲ
φρόνιμον δοκεῖν αὑτῷ εἶναι ἱκανόν· οὔκουν ἐπιθυμεῖ ὁ μὴ
οἰόμενος ἐνδεὴς εἶναι οὗ ἂν μὴ οἴηται ἐπιδεῖσθαι. Τίνες οὖν,
ἔφην ἐγώ, ὦ Διοτίμα, οἱ φιλοσοφοῦντες, εἰ μήτε οἱ σοφοὶ
μήτε οἱ ἀμαθεῖς; Δῆλον, ἔφη, τοῦτό γε ἤδη καὶ παιδί, ὅτι οἱ B
μεταξὺ τούτων ἀμφοτέρων, ὧν αὖ καὶ ὁ Ἔρως. ἔστι γὰρ δὴ
τῶν καλλίστων ἡ σοφία, Ἔρως δ' ἐστὶν ἔρως περὶ τὸ καλόν,
ὥστε ἀναγκαῖον Ἔρωτα φιλόσοφον εἶναι, φιλόσοφον δὲ ὄντα
μεταξὺ εἶναι σοφοῦ καὶ ἀμαθοῦς. αἰτία δ' αὐτῷ καὶ τούτων
ἡ γένεσις· πατρὸς μὲν γὰρ σοφοῦ ἐστι καὶ εὐπόρου, μητρὸς
δὲ οὐ σοφῆς καὶ ἀπόρου. ἡ μὲν οὖν φύσις τοῦ δαίμονος, ὦ
φίλε Σώκρατες, αὕτη· ὃν δὲ σὺ ᾠήθης Ἔρωτα εἶναι, θαυμα-

2 θάλλει τε C Origenes | 4 αἰεὶ BV | οὔτ' C | 5 σοφίας δὲ Sauppius: σοφίας τε BV σοφίας δ' αὖ Origenes σοφίας τ' αὖ C | 9 τοῦτο χαλεπὸν ἀμαθίᾳ, τὸν μὴ ὄντα — δοκεῖν αὐτὸ ἱκανόν Astius | χαλεπὸν del. Hommelius | καὶ ἀγαθὸν C | 10 αὐτὸ BV αὑτῷ bv | οὐκοῦν BV | 13 δῆλον Hermannus: δῆλον ὅτι BV δῆλον δὲ C δῆλον δή ς | 14 αὖ ς: ἂν BVC del. Rueckertus | 17 δὲ B | 18 ἐστὶ om. V

Πλάτων τὸ ὄνομα τὸν σοφιστὴν ἐπὶ σεμνῷ τάττειν πράγματι· τὸν γὰρ πρὸς ἑαυτὸν τὰ ἄλλα δυνάμενον ἐπιστρέφειν οὕτως καλεῖ, οἷον τὸν Δία ⟨Min. p. 319 C⟩, τὸν Ἅιδην ⟨Crat. p. 403 E⟩, τὸν Ἔρωτα ⟨cf. schol. Plat. soph. in.⟩. | 1 *Max. Tyr. 24, 9* ἡ Διοτίμα λέγει ὅτι θάλλει μὲν Ἔρως εὐπορῶν, ἀποθνήσκει δὲ ἀπορῶν· τοῦτο ἐκείνη ⟨Σαπφὼ⟩ ξυλλαβοῦσα εἶπε ʽγλυκύπικρονʼ ⟨fr. 40 Ἔρος δαὖτέ με λυσιμέλης δόνει γλυκύπικρον ἀμάχανον ὄρπετον⟩ καὶ ʽἀλγεσίδωρονʼ ⟨fr. 125⟩. | 6 *Hermias in Plat. Phaedr. p. 204* οὕτω καὶ ἐν τῷ συμποσίῳ ⟨οὐ add.⟩ σοφὸν ἐκάλεσε τὸν Ἔρωτα ὁ Σωκράτης, φιλόσοφον δὲ οὔ ⟨del. οὔ⟩. ʽθεῶν γάρʼ φησίν ʽοὐδεὶς φιλόσοφος.ʼ τίνες οὖν οἱ φιλόσοφοι; οἱ ὀρεγόμενοι τῆς σοφίας. | 7 *Procl. in Alcib. I p. 188* οὔτε γὰρ οἱ ἐπιστήμονες ἔτι ζητοῦσι τὸ ἀληθές, ἤδη τῆς γνώσεως ὅρον κατὰ τὴν ἐπιστήμην εἰληφότες, οὔτε οἱ τὴν διπλῆν ἔχοντες ἄγνοιαν. αὐτὸ γὰρ τοῦτό ἐστιν ἡ διπλῆ ἀμαθία τὸ μὴ ὂν ⟨l. ὄντα⟩ καλὸν μήτε ἀγαθὸν μήτε φρόνιμον οἴεσθαι ἱκανὸν εἶναι, φησὶν ὁ τῆς Διοτίμας λόγος.

C στὸν οὐδὲν ἔπαθες. ᾠήθης δέ, ὡς ἐμοὶ δοκεῖ τεκμαιρομένῃ ἐξ ὧν σὺ λέγεις, τὸ ἐρώμενον Ἔρωτα εἶναι, οὐ τὸ ἐρῶν. διὰ ταῦτά σοι, οἶμαι, πάγκαλος ἐφαίνετο ὁ Ἔρως. καὶ γάρ ἐστι τὸ ἐραστὸν τὸ τῷ ὄντι καλὸν καὶ ἁβρὸν καὶ τέλεον καὶ μακαριστόν· τὸ δέ γε ἐρῶν ἄλλην ἰδέαν τοιαύτην ἔχον, οἵαν ἐγὼ διῆλθον. καὶ ἐγὼ εἶπον Εἶεν δή, ὦ ξένη· καλῶς γὰρ λέγεις· τοι- 24
οῦτος ὢν ὁ Ἔρως τίνα χρείαν ἔχει τοῖς ἀνθρώποις; Τοῦτο
D δὴ μετὰ ταῦτ', ἔφη, ὦ Σώκρατες, πειράσομαί σε διδάξαι. ἔστι μὲν γὰρ δὴ τοιοῦτος καὶ οὕτω γεγονὼς ὁ Ἔρως, ἔστι δὲ τῶν καλῶν, ὡς σὺ φῄς. εἰ δέ τις ἡμᾶς ἔροιτο· τί τῶν καλῶν ἐστὶν ὁ Ἔρως, ὦ Σώκρατές τε καὶ Διοτίμα; ὧδε δὲ σαφέστερον ἐρῶ· ὁ ἐρῶν τῶν καλῶν τί ἐρᾷ; καὶ ἐγὼ εἶπον ὅτι Γενέσθαι αὐτῷ. Ἀλλ' ἐπιποθεῖ, ἔφη, ἡ ἀπόκρισις ἐρώτησιν τοιάνδε· τί ἔσται ἐκείνῳ ᾧ ἂν γένηται τὰ καλά; οὐ πάνυ ἔφην ἔτι ἔχειν ἐγὼ
E πρὸς ταύτην τὴν ἐρώτησιν προχείρως ἀποκρίνασθαι. Ἀλλ', ἔφη, ὥσπερ ἂν εἴ τις μεταβαλὼν ἀντὶ τοῦ καλοῦ τῷ ἀγαθῷ χρώμενος πυνθάνοιτο· φέρε, ὦ Σώκρατες, ὁ ἐρῶν τῶν ἀγαθῶν τί ἐρᾷ; Γενέσθαι, ἦν δ' ἐγώ, αὐτῷ. Καὶ τί ἔσται ἐκείνῳ, ᾧ ἂν γένηται τἀγαθά; Τοῦτ' εὐπορώτερον, ἦν δ' ἐγώ, ἔχω ἀπο-
205 κρίνασθαι, ὅτι εὐδαίμων ἔσται. Κτήσει γάρ, ἔφη, ἀγαθῶν οἱ εὐδαίμονες εὐδαίμονες, καὶ οὐκέτι προσδεῖ ἐρέσθαι, ἵνα τί δὲ βούλεται εὐδαίμων εἶναι ὁ βουλόμενος, ἀλλὰ τέλος δοκεῖ ἔχειν ἡ ἀπόκρισις. Ἀληθῆ λέγεις, εἶπον ἐγώ. Ταύτην δὲ τὴν βούλησιν καὶ τὸν ἔρωτα τοῦτον πότερα κοινὸν οἴει εἶναι πάντων

1 τεκμαιρομενη B corr. b | 3 οἴομαι C | 4 ἀβρὸν B | 6 καλὸς V | 7 ἔρος V | 9 οὕτως C | 10 σύμφης Vsenerus: σὺ φῄς BVC | 11 τε om. C | ἐρᾳ B ἐρᾶ V ἐρῳ b | 13 ἀλλ' ἔτι ποθεῖ ς ἀλλ' ἔτι ἐπιποθεῖ Rueckertus | 17 Σώκρατες, ὁ ἐρῶν ς Bastius krit. uers. p. 66: Σώκρατες, ἐρᾷ ὁ ἐρῶν BVC Winckelmannus ad Euthydem. p. XII Σώκρατες ἐρῶ ὁ ἐρῶν ς Σώκρατες, ἔροιτο, ὁ ἐρῶν Hermannus de protasi paratactica p. 8 ἐρᾷ ὁ ἐρῶν τῶν ἀγαθῶν τί; Voegelinus | 18 αὐτῷ ς: αὐτῷ BVC | 23 δὴ C | 24 οἴοι V

22 *schol.* τὸ τέλος οἱ Ἀττικοὶ τάττουσι καὶ ἀντὶ τάξεως καὶ τάγματος καὶ δαπάνης, ἔνθεν ὁ πολυτελὴς καὶ εὐτελὴς καὶ ὁ συντελής, καὶ τὸ εἰς γάμους ἀνάλωμα, ὅθεν τὰ προτέλεια. λέγεται καὶ ἀντὶ ἀρχῆς. Θουκυδίδης ⟨?⟩ 'προσελθὼν δὲ τοῖς τέλεσιν', ὡς εἰ ἔφη τοῖς ἐν ἀρχῇ οὖσι. σημαίνει καὶ τὸ ἀποτέλεσμα τῶν πραγμάτων. καὶ τὸ εἰσπραττόμενον ὑπὸ τῶν τελωνῶν χρέος τέλος καλεῖται. *Hesych.* τέλος· τάγμα, πέρας, καὶ τὸ καταβαλλόμενον τοῖς τελώναις. *Phot.* τέλος· ἀρχή, πρᾶξις. τέλος καὶ τὸ διδόμενον τοῖς βασιλεῦσιν. τέλος καὶ τὸ δαπάνημα, ὅθεν καὶ πολυτελὲς τὸ πολυανάλωτον. τέλος καὶ τὸ



ἀνθρώπων καὶ πάντας τἀγαθὰ βούλεσθαι αὑτοῖς εἶναι ἀεί, ἢ πῶς λέγεις; Οὕτως, ἦν δ' ἐγώ· κοινὸν εἶναι πάντων. Τί δὴ οὖν, ἔφη, ὦ Σώκρατες, οὐ πάντας ἐρᾶν φαμέν, εἴπερ γε πάντες τῶν αὐτῶν ἐρῶσι καὶ ἀεί, ἀλλά τινάς φαμεν ἐρᾶν, τοὺς δ' B
οὔ; Θαυμάζω, ἦν δ' ἐγώ, καὶ αὐτός. Ἀλλὰ μὴ θαύμαζ', ἔφη· ἀφελόντες γὰρ τοῦ ἔρωτός τι εἶδος ὀνομάζομεν, τὸ τοῦ ὅλου ἐπιτιθέντες ὄνομα, ἔρωτα, τὰ δὲ ἄλλα ἄλλοις καταχρώμεθα ὀνόμασιν. Ὥσπερ τί; ἦν δ' ἐγώ. Ὥσπερ τόδε. οἶσθ' ὅτι ποίησίς ἐστί τι πολύ· ἡ γάρ τοι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν ἰόντι ὁτῳοῦν αἰτία πᾶσά ἐστι ποίησις, ὥστε καὶ αἱ ὑπὸ πάσαις ταῖς τέχναις ἐργασίαι ποιήσεις εἰσὶ καὶ οἱ τούτων δημι- C
ουργοὶ πάντες ποιηταί. Ἀληθῆ λέγεις. Ἀλλ' ὅμως, ἦ δ' ἥ, οἶσθ' ὅτι οὐ καλοῦνται ποιηταὶ ἀλλ' ἄλλα ἔχουσιν ὀνόματα, ἀπὸ δὲ πάσης τῆς ποιήσεως ἓν μόριον ἀφορισθέν, τὸ περὶ τὴν μουσικὴν καὶ τὰ μέτρα, τῷ τοῦ ὅλου ὀνόματι προσαγορεύεται. ποίησις γὰρ τοῦτο μόνον καλεῖται, καὶ οἱ ἔχοντες τοῦτο τὸ μόριον τῆς ποιήσεως ποιηταί. Ἀληθῆ λέγεις, ἔφην. Οὕτω τοίνυν καὶ περὶ τὸν ἔρωτα· τὸ μὲν κεφάλαιόν ἐστι πᾶσα ἡ D

1 αἰεί BV | 4 αἰεί V | 6 γὰρ ἄρα C | τι τὸ εἶδος C ἕν τι εἶδος R. B. Hirschigius ztschr. f. d. alterth. wiss. 1851 p. 332 | 7 τὰ δ' C | 8 ὀνόμασι καταχρώμεθα C | 9 τοι ς: τι BVC | 12 ἦ δ' ἥ Bekkerus: ἤδη B ἤδη VC | 13 ἀλλὰ ἄλλα V | ἔξουσιν BV ἴσχουσιν Sauppius

πέρας, καὶ ὁ γάμος· ὅθεν καὶ τὰ προτέλεια. *Eust. in Hom. Iliad. Δ, 729 p. 832* τέλη δὲ καὶ ἐνταῦθα τὰ στρατιωτικὰ λέγει τάγματα. δῆλον δὲ ὅτι πολυσήμαντον τὸ τέλος ἐστί. τέλος γάρ, φασίν, ἀνάλωμα καὶ τάξις καὶ ἀρχὴ καὶ γάμος. καὶ ἐκ μὲν τοῦ δηλοῦντος τὸ ἀνάλωμα γίνεται ἀτελῆ κατὰ Παυσανίαν, τὰ ἀδάπανα, ὡς καὶ πολυτελῆ τὰ πολυδάπανα· ἐντεῦθεν δὲ καὶ εὐτελὴς ὁ φειδωλός, φασί, καὶ ὀλιγοδάπανος, ὡς πολυτελὴς ὁ πολυδάπανος. ἐκ δὲ τοῦ σημαίνοντος τάξιν [ἤδη δὲ] καὶ ἀρχὴν αἱ μυστικαὶ τελεταὶ καὶ τὸ τελεῖσθαι ἀντὶ τοῦ μυεῖσθαι καὶ ἡ κατὰ ἀρετὴν τελειότης καὶ οἱ κατὰ αὐτὴν τέλειοι καὶ οἱ ἐν τέλει, τουτέστιν οἱ ἀρχικοὶ καὶ τάσσοντες ἤτοι κοσμήτορες, ὡς τὸ 'τοῖς ἐν τέλει βεβῶσι πείσομαι' ⟨Soph. Antig. 67⟩. ἐκ δὲ τοῦ λοιποῦ τέλους, ὃ σημαίνει τὸν γάμον, τὰ προτέλεια, ὧν χρῆσις μὲν μόνη παρὰ Αἰλίῳ Διονυσίῳ, ἑρμηνεία δὲ παρὰ Παυσανίᾳ, εἰπόντι ὅτι προτέλεια ἡ πρὸ τῶν γάμων θέα, ἴσως τὰ λεγόμενα θεώρητρα. ἐκεῖθεν δὲ καὶ τέλειοι οἱ γεγαμηκότες, καὶ τελειωθῆναι τὸ γῆμαι. δῆλον δὲ ὅτι καὶ τὸ παντὸς πράγματος πέρας τέλος λέγεται, ἀφ' οὗ καὶ ἡ τελευτή, προσλαβοῦσα τὸ υ πρὸς διαφορὰν τῆς τελετῆς, καὶ τὸ τελευτᾶν ῥῆμα. *Tim. Suid.* τέλος· τάξις, βλάβη, ἀνάλωμα.

τῶν ἀγαθῶν ἐπιθυμία καὶ τοῦ εὐδαιμονεῖν, ὁ μέγιστός τε καὶ
δολερὸς ἔρως παντί· ἀλλ' οἱ μὲν ἄλλῃ τρεπόμενοι πολλαχῇ
ἐπ' αὐτόν, ἢ κατὰ χρηματισμὸν ἢ κατὰ φιλογυμναστίαν ἢ κατὰ
φιλοσοφίαν, οὔτ' ἐρᾶν καλοῦνται οὔτ' ἐρασταί, οἱ δὲ κατὰ ἕν
τι εἶδος ἰόντες τε καὶ ἐσπουδακότες τὸ τοῦ ὅλου ὄνομα ἴσχου-
σιν, ἔρωτά τε καὶ ἐρᾶν καὶ ἐρασταί. Κινδυνεύεις ἀληθῆ, ἔφην
ἐγώ, λέγειν. Καὶ λέγεται μέν γέ τις, ἔφη, λόγος, ὡς οἳ ἂν τὸ
E ἥμισυ τὸ ἑαυτῶν ζητῶσιν, οὗτοι ἐρῶσιν· ὁ δὲ ἐμὸς λόγος οὔθ'
ἡμίσεός φησιν εἶναι τὸν ἔρωτα οὔθ' ὅλου, ἐὰν μὴ τυγχάνῃ γέ
που, ὦ ἑταῖρε, ἀγαθὸν ὄν· ἐπεὶ αὑτῶν γε καὶ πόδας καὶ χεῖ-
ρας ἐθέλουσιν ἀποτέμνεσθαι οἱ ἄνθρωποι, ἐὰν αὐτοῖς δοκῇ
τὰ ἑαυτῶν πονηρὰ εἶναι. οὐ γὰρ τὸ ἑαυτῶν, οἶμαι, ἕκαστοι
ἀσπάζονται, εἰ μὴ εἴ τις τὸ μὲν ἀγαθὸν οἰκεῖον καλεῖ καὶ ἑαυ-
206 τοῦ, τὸ δὲ κακὸν ἀλλότριον· ὡς οὐδέν γε ἄλλο ἐστὶν οὗ ἐρῶ-
σιν ἄνθρωποι ἢ τοῦ ἀγαθοῦ· ἢ σοὶ δοκοῦσιν; Μὰ Δί' οὐκ
ἔμοιγε, ἦν δ' ἐγώ. Ἆρ' οὖν, ἦ δ' ἥ, οὕτως ἁπλοῦν ἐστὶ λέγειν,
ὅτι ἄνθρωποι τοῦ ἀγαθοῦ ἐρῶσιν; Ναί, ἔφην. Τί δέ; οὐ
προσθετέον, ἔφη, ὅτι καὶ εἶναι τὸ ἀγαθὸν αὑτοῖς ἐρῶσιν;
Προσθετέον. Ἆρ' οὖν, ἔφη, καὶ οὐ μόνον εἶναι, ἀλλὰ καὶ ἀεὶ
εἶναι; Καὶ τοῦτο προσθετέον. Ἔστιν ἄρα ξυλλήβδην, ἔφη, ὁ
ἔρως τοῦ τὸ ἀγαθὸν αὑτῷ εἶναι ἀεί. Ἀληθέστατα, ἔφην ἐγώ,
B λέγεις. Ὅτε δὴ τούτου ὁ ἔρως ἐστίν, ἦ δ' ἥ, τῶν τίνα τρόπον
διωκόντων αὐτὸν καὶ ἐν τίνι πράξει ἡ σπουδὴ καὶ ἡ σύντασις
ἔρως ἂν καλοῖτο; τί τοῦτο τυγχάνει ὂν τὸ ἔργον; ἔχεις εἰπεῖν;
Οὐ μέντ' ἂν σέ, ἔφην ἐγώ, ὦ Διοτίμα, ἐθαύμαζον ἐπὶ σοφίᾳ
καὶ ἐφοίτων παρὰ σὲ αὐτὰ ταῦτα μαθησόμενος. Ἀλλ' ἐγώ σοι,
ἔφη, ἐρῶ. ἔστι γὰρ τοῦτο τόκος ἐν καλῷ καὶ κατὰ τὸ σῶμα
καὶ κατὰ τὴν ψυχήν. Μαντείας, ἦν δ' ἐγώ, δεῖται ὅ τί ποτε

1 ὁ ὁρμητικός τε καὶ τολμηρὸς ἔρως Creuzerus zur griech. u. roem. litt. gesch. p. 190 | καὶ κοινὸς ἔρως Hommelius | καὶ ὁλόκληρος ἔρως πάντη Pflugkius sched. crit. p. 34 | 2 ἄλλοι μὲν B | πανταχῇ τε καὶ πολλαχῇ C | 3 ἐπ' ἀγαθὸν Orellius ad Isocr. de perm. p. 331 | 6 ἐρᾶν ἐρασταί C καὶ add. c | 7 οι αν B οι ἂν V corr. bv | 8 τὸ ἑαυτῶν Sauppius: τὸ om. BVC | οὔτε BV | 9 οὔτε BV | 10 ἐπὶ BV | 13 καλεῖ c: καλοῖ C καλῇ BV | 15 ἄν-θρωποι BVC del. Baiterus | 16 ἦ δ' ἥ Bekkerus: ἤδη BVC | 17 ἄνθρωποι Sauppius: οἱ ἄνθρωποι BVC | τί δαί C | 19 ἄρ' B | αἰεὶ BV | 20 τοῦτο B corr. b | 21 αὐτὸ BV | αἰεὶ BV | 22 τούτου Bastius krit. uers. p. 146: τοῦτο BVC | ἐστὶν αἰεί BC | ἦ δ' ἥ Bekkerus: ἤδη BVC | τὸν BV corr. b | 23 αὐτὸν C | ἡ σπουδὴ ς: ἣ σπουδῇ BVC | σύστασις C

14 *Procl. in Alcib. I p. 129* τὸ γὰρ ἀγαθὸν ἐφετόν ἐστι καὶ ὁ ἔρως πρὸς τὸ ἀγαθὸν ἄγει τοὺς ἐρῶντας, ὡς ὁ τῆς Διοτίμας λόγος.



λέγεις, καὶ οὐ μανθάνω. Ἀλλ' ἐγώ, ἦ δ' ἥ, σαφέστερον ἐρῶ. C
κυοῦσι γάρ, ἔφη, ὦ Σώκρατες, πάντες ἄνθρωποι κατὰ τὸ σῶμα
καὶ κατὰ τὴν ψυχήν, καὶ ἐπειδὰν ἔν τινι ἡλικίᾳ γένωνται, τί-
κτειν ἐπιθυμεῖ ἡμῶν ἡ φύσις. τίκτειν δὲ ἐν μὲν αἰσχρῷ οὐ
δύναται, ἐν δὲ τῷ καλῷ. [ἡ γὰρ ἀνδρὸς καὶ γυναικὸς συνουσία
τόκος ἐστίν.] ἔστι δὲ τοῦτο θεῖον τὸ πρᾶγμα, καὶ τοῦτο ἐν
θνητῷ ὄντι τῷ ζώῳ ἀθάνατον ἔνεστιν, ἡ κύησις καὶ ἡ γέννη-
σις. τὰ δὲ ἐν τῷ ἀναρμόστῳ ἀδύνατον γενέσθαι. ἀνάρμοστον
δ' ἐστὶ τὸ αἰσχρὸν παντὶ τῷ θείῳ, τὸ δὲ καλὸν ἁρμόττον. D
Μοῖρα οὖν καὶ Εἰλείθυια ἡ καλλονή ἐστι τῇ γενέσει. διὰ ταῦτα
ὅταν μὲν καλῷ προσπελάζῃ τὸ κυοῦν, ἵλεών τε γίγνεται καὶ
εὐφραινόμενον διαχεῖται καὶ τίκτει τε καὶ γεννᾷ· ὅταν δὲ αἰ-
σχρῷ, σκυθρωπόν τε καὶ λυπούμενον συσπειρᾶται καὶ ἀποτρέ-
πεται καὶ ἀνίλλεται καὶ οὐ γεννᾷ, ἀλλὰ ἴσχον τὸ κύημα χαλε-
πῶς φέρει. ὅθεν δὴ τῷ κυοῦντί τε καὶ ἤδη σπαργῶντι πολλὴ
ἡ πτοίησις γέγονε περὶ τὸ καλὸν διὰ τὸ μεγάλης ὠδῖνος ἀπο- E
λύειν τὸν ἔχοντα. ἔστι γάρ, ὦ Σώκρατες, ἔφη, οὐ τοῦ καλοῦ
ὁ ἔρως, ὡς σὺ οἴει. Ἀλλὰ τί μήν; Τῆς γεννήσεως καὶ τοῦ
τόκου ἐν τῷ καλῷ. Εἶεν, ἦν δ' ἐγώ. Πάνυ μὲν οὖν, ἔφη. Τί
δὴ οὖν τῆς γεννήσεως; Ὅτι ἀειγενές ἐστι καὶ ἀθάνατον ὡς
θνητῷ ἡ γέννησις. ἀθανασίας δὲ ἀναγκαῖον ἐπιθυμεῖν μετὰ 207
ἀγαθοῦ ἐκ τῶν ὡμολογημένων, εἴπερ τοῦ ἀγαθοῦ ἑαυτῷ εἶναι

1 καὶ οὐ μανθάνω del. Naberus de fide Andocid. or. de myst. p. 70 | ἦ δ' ἥ Bekkerus: ἤδη BVC | 2 κύουσι VC | ἄνθρωποι Sauppius: ἄνθρωποι BVC | καὶ κατὰ C | 5 δύνανται C | ἡ γὰρ — ἐστίν del. Astius | 7 ἀθάνατόν ἐστιν C | 8 τοῦτο δ' ἐν C | 9 θείῳ ς: θεῷ BVC | 10 ἠληθυια V | Καλλονή Vsenerus | 11 προσπελάζοι C | 13 συν-σπείρεται BV | 14 ἀνείλλεται BV ἀνείλεται V cf. Phrynichus Bekkeri anecd. I p. 19, 14 ἀνίλλειν βιβλίον· οἱ μὲν ἄλλοι περισπῶσι τὴν λέξιν καὶ δι' ἑνὸς λ γράφουσιν, οὕτω καὶ τὸ ἐξίλλειν. | 16 πτόησις Bekkerus πόνησις Sydenhamius | ἀπολαύειν BV | 18 ὁ om. C | 21 μετ' C | 22 τοῦ τἀγαθὸν ς Bastius krit. uers. p. 147

12 *Hesych. Suid.* διαχεῖται· διαδέχεται ⟨add. Hes. διαχέεται Vossius⟩, χαίρει. | 13 *schol.* συσπειρᾶται· συστρέφεται. | 14 *Plotin. ennead. I, 6, 2 p. 51* ἡ ψυχὴ — πρὸς τὸ αἰσχρὸν προσβαλοῦσα ἀνίλλεται καὶ ἀρνεῖται καὶ ἀνανεύει. *Tim.* ἀνείλλεται· ἀνειλεῖται. | 15 *schol.* σπαργῶντι· ὁρμῶντι, ὀργῶντι, ταραττομένῳ, ἢ ἀνθοῦντι. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν μαστῶν πεπληρωμένων γάλακτος. | 18 *Clem. Alex. str. V p. 236* ἐν δὲ τῷ συμποσίῳ πᾶσι μὲν ἔρωτα φυσικὸν ἐγκεκρᾶσθαι λέγει τῆς τοῦ ὁμοίου γενέσεως ⟨l. γεννήσεως⟩ καὶ τοῖς μὲν ἀνθρώποις ἀνθρώπων μόνον, τῷ δὲ σπουδαίῳ τοῦ παραπλησίου. ἀδύνατον δ' ἐστὶ τοῦτο ποιῆσαι τὸν σπουδαῖον, μὴ ἔχοντα τελείους τὰς ἀρετάς, καθ' ἃς παιδεύσει τοὺς προσιόντας νέους.

ἀεὶ ὁ ἔρως ἐστίν. ἀναγκαῖον δὴ ἐκ τούτου τοῦ λόγου, καὶ τῆς ἀθανασίας τὸν ἔρωτα εἶναι.

Ταῦτά τε οὖν πάντα ἐδίδασκέ με, ὁπότε περὶ τῶν ἐρω- 26 τικῶν λόγους ποιοῖτο, καί ποτε ἤρετο Τί οἴει, ὦ Σώκρατες, αἴτιον εἶναι τούτου τοῦ ἔρωτος καὶ τῆς ἐπιθυμίας; ἢ οὐκ αἰσθάνει ὡς δεινῶς διατίθεται πάντα τὰ θηρία, ἐπειδὰν γεννᾶν B ἐπιθυμήσῃ, καὶ τὰ πεζὰ καὶ τὰ πτηνά, νοσοῦντά τε πάντα καὶ ἐρωτικῶς διατιθέμενα, πρῶτον μὲν περὶ τὸ ξυμμιγῆναι ἀλλήλοις, ἔπειτα περὶ τὴν τροφὴν τοῦ γενομένου, καὶ ἕτοιμά ἐστιν ὑπὲρ τούτων καὶ διαμάχεσθαι τὰ ἀσθενέστατα τοῖς ἰσχυροτάτοις καὶ ὑπεραποθνήσκειν, καὶ αὐτὰ τῷ λιμῷ παρατεινόμενα ὥστ' ἐκεῖνα ἐκτρέφειν, καὶ ἄλλο πᾶν ποιοῦντα. τοὺς μὲν γὰρ ἀνθρώπους, ἔφη, οἴοιτ' ἄν τις ἐκ λογισμοῦ ταῦτα ποιεῖν· τὰ C δὲ θηρία τίς αἰτία οὕτως ἐρωτικῶς διατίθεσθαι; ἔχεις λέγειν; καὶ ἐγὼ αὖ ἔλεγον ὅτι Οὐκ εἰδείην· ἣ δ' εἶπε Διανοεῖ οὖν δεινός ποτε γενήσεσθαι τὰ ἐρωτικά, ἐὰν ταῦτα μὴ ἐννοῇς; Ἀλλὰ διὰ ταῦτά τοι, ὦ Διοτίμα, ὅπερ νῦν δὴ εἶπον, παρὰ σὲ ἥκω, γνοὺς ὅτι διδασκάλων δέομαι. ἀλλά μοι λέγε καὶ τούτων τὴν αἰτίαν καὶ τῶν ἄλλων τῶν περὶ τὰ ἐρωτικά. Εἰ τοίνυν, ἔφη, πιστεύεις ἐκείνου εἶναι φύσει τὸν ἔρωτα, οὗ πολλά- D κις ὡμολογήκαμεν, μὴ θαύμαζε. ἐνταῦθα γὰρ τὸν αὐτὸν ἐκείνῳ λόγον ἡ θνητὴ φύσις ζητεῖ κατὰ τὸ δυνατὸν ἀεί τε εἶναι καὶ ἀθάνατος. δύναται δὲ ταύτῃ μόνον τῇ γενέσει, ὅτι ἀεὶ καταλείπει ἕτερον νέον ἀντὶ τοῦ παλαιοῦ, ἐπεὶ καὶ ἐν ᾧ ἓν ἕκαστον τῶν ζώων ζῆν καλεῖται καὶ εἶναι τὸ αὐτό, οἷον ἐκ παιδαρίου ὁ αὐτὸς λέγεται ἕως ἂν πρεσβύτης γένηται· οὗτος μέντοι οὐδέποτε τὰ αὐτὰ ἔχων ἐν αὑτῷ ὅμως ὁ αὐτὸς καλεῖται, ἀλλὰ νέος ἀεὶ γιγνόμενος, τὰ δὲ ἀπολλύς, καὶ κατὰ τὰς τρίχας καὶ σάρκα E καὶ ὀστᾶ καὶ αἷμα καὶ ξύμπαν τὸ σῶμα. καὶ μὴ ὅτι κατὰ τὸ σῶμα, ἀλλὰ καὶ κατὰ τὴν ψυχὴν οἱ τρόποι, τὰ ἤθη, δόξαι, ἐπιθυμίαι, ἡδοναί, λῦπαι, φόβοι, τούτων ἕκαστα οὐδέποτε τὰ αὐτὰ πάρεστιν ἑκάστῳ, ἀλλὰ τὰ μὲν γίγνεται, τὰ δὲ ἀπόλλυται. πολὺ δὲ τούτων ἀτοπώτερον ἔτι, ὅτι καὶ αἱ ἐπιστῆμαι μὴ ὅτι 208 αἱ μὲν γίγνονται, αἱ δὲ ἀπόλλυνται ἡμῖν, καὶ οὐδέποτε οἱ αὐτοί

1 ὁ add. Bekkerus: om. BVC | 5 ἦ C | 10 τὰ ἀσθενέστατα om. C | 11 τῷ in rasura C | 15 αὖ bς: ἂν BVC | εἶπεν V | διανόει BV | 18 διδασκάλω V | 22 αἰεὶ BV | τε — ἀεὶ om. V | τὸ εἶναι B | 25 ζῇ, καλεῖται Astius qui postea ἓν — τῶν ζώων del. | 27 ἑαυτῷ V αὐτῷ BC | καλεῖται ἀλλοῖος ἀεὶ Stephanus | 28 αἰεὶ BV | γιγνόμενος τὰ μὲν προσλαμβάνων τὰ δὲ Wolfius | τὰ δὲ παλαιὰ ἀπολλύς Bastius krit. uers. p. 67 | 30 τόποι BV | ἔθη Fischerus | 32 τὰ δ' C | 33 ἐστιν ὅτι C | 34 αἱ δ' C



ἐσμεν οὐδὲ κατὰ τὰς ἐπιστήμας, ἀλλὰ καὶ μία ἑκάστη τῶν ἐπιστημῶν ταὐτὸν πάσχει. ὃ γὰρ καλεῖται μελετᾶν ὡς ἐξιούσης ἐστὶ τῆς ἐπιστήμης· λήθη γὰρ ἐπιστήμης ἔξοδος, μελέτη δὲ πάλιν καινὴν ἐμποιοῦσα ἀντὶ τῆς ἀπιούσης μνήμη σώζει τὴν ἐπιστήμην, ὥστε τὴν αὐτὴν δοκεῖν εἶναι. τούτῳ γὰρ τῷ τρόπῳ πᾶν τὸ θνητὸν σώζεται, οὐ τῷ παντάπασι τὸ αὐτὸ ἀεὶ εἶναι ὥσπερ τὸ θεῖον, ἀλλὰ τῷ τὸ ἀπιὸν καὶ παλαιούμενον ἕτερον B νέον ἀεὶ καταλείπειν οἷον αὐτὸ ἦν. ταύτῃ τῇ μηχανῇ, ὦ Σώκρατες, ἔφη, θνητὸν ἀθανασίας μετέχει, καὶ σῶμα καὶ τἆλλα πάντα· ἀδύνατον δὲ ἄλλῃ. μὴ οὖν θαύμαζε, εἰ τὸ αὑτοῦ ἀποβλάστημα φύσει πᾶν τιμᾷ· ἀθανασίας γὰρ χάριν παντὶ αὕτη ἡ σπουδὴ καὶ ὁ ἔρως ἕπεται.

27 Καὶ ἐγὼ ἀκούσας τὸν λόγον ἐθαύμασά τε καὶ εἶπον Εἶεν, ἦν δ' ἐγώ, ὦ σοφωτάτη Διοτίμα, ταῦτα ὡς ἀληθῶς οὕτως ἔχει; C καὶ ἥ, ὥσπερ οἱ τέλεοι σοφισταί, Εὖ ἴσθι, ἔφη, ὦ Σώκρατες· ἐπεὶ καὶ τῶν ἀνθρώπων εἰ ἐθέλεις εἰς τὴν φιλοτιμίαν βλέψαι, θαυμάζοις ἂν τῆς ἀλογίας πέρι, ἃ ἐγὼ εἴρηκα εἰ μὴ ἐννοεῖς, ἐνθυμηθεὶς ὡς δεινῶς διάκεινται ἔρωτι τοῦ ὀνομαστοὶ γενέσθαι καὶ κλέος εἰς τὸν ἀεὶ χρόνον ἀθάνατον καταθέσθαι, καὶ ὑπὲρ τούτου κινδύνους τε κινδυνεύειν ἕτοιμοί εἰσι πάντας ἔτι μᾶλλον ἢ ὑπὲρ τῶν παίδων, καὶ χρήματ' ἀναλίσκειν καὶ πόνους D πονεῖν οὑστινασοῦν καὶ ὑπεραποθνήσκειν. ἐπεὶ οἴει σύ, ἔφη, Ἄλκηστιν ὑπὲρ Ἀδμήτου ἀποθανεῖν ἄν, ἢ Ἀχιλλέα Πατρόκλῳ ἐπαποθανεῖν, ἢ προαποθανεῖν τὸν ὑμέτερον Κόδρον ὑπὲρ τῆς

2 πάσχει ταὐτόν C | ὃ γὰρ — ἔξοδος l. Ioa. Stob. flor. XXVI, 6 | 4 μνήμη Sauppius: μνήμην BVC del. Voegelinus | 5 τούτῳ γὰρ — 12 ἕπεται l. Ioa Stob. flor. LXXV, 12 | 6 ὀνητόν B ὠνητόν V | οὕτω BV | αὐτὸν B | αἰεὶ BV | 8 ἀεὶ καταλείπειν R. B. Hirschigius misc. phil. III p. 76: ἐγκαταλείπειν BVC Ioa. Stob. | ταύτῃ — ἄλλῃ om. Ioa. Stob. | 9 μετέχει Stephanus: μετέχειν BVC | πάντα τἆλλα V | 10 ἀδύνατον Creuzerus ad Plotin. de pulchr. p. 528 zur gesch. d. griech. u. roem. litt. p. 152: ἀθάνατον BVC θάνατον Hommelius | 11 ἅπαν Ioa. Stob. | γὰρ ἅμα καὶ εὐδαιμονίας εἰς τὸν ἀεὶ χρόνον παντὶ Ioa. Stob. | 15 καὶ ἦ C | 16 ἐπεί γε καὶ C | ἐθέλοις Stephanus | 17 πέρι Bastius krit. uers. p. 69: περὶ BVC del. Astius | 19 ἐς V | 20 ἔτι om. C | 21 χρήματα VC | 24 ἡμέτερον C

24 *schol.* Κόδρος ἦν ἀπὸ Δευκαλίωνος, ὥς φησιν Ἑλλάνικος ⟨fr. 10⟩. γίνεται γὰρ Δευκαλίωνος μὲν καὶ Πύρρας Ἕλλην· Ἕλληνος δὲ καὶ Ὀθρηίδος Ξοῦθος, Αἴολος, Δῶρος, Ξενοπάτρα· Αἰόλου δὲ καὶ Ἴφιδος τῆς Πηνειοῦ Σαλμωνεύς· Σαλμωνέως δὲ καὶ Ἀλκιδίκης Τυρώ, ἧς καὶ Ποσειδῶνος Νηλεύς· Νηλέως δὲ καὶ Χλωρίδος Περικλύμενος· Περικλυμένου δὲ καὶ Πεισιδίκης Βῶρος· Βώρου δὲ καὶ Λυσιδίκης Πένθιλος· Πενθί-

βασιλείας τῶν παίδων, μὴ οἰομένους ἀθάνατον μνήμην ἀρετῆς πέρι ἑαυτῶν ἔσεσθαι, ἣν νῦν ἡμεῖς ἔχομεν; πολλοῦ γε δεῖ, ἔφη, ἀλλ' οἶμαι, ὑπὲρ ἀρετῆς ἀθανάτου καὶ τοιαύτης δόξης εὐ-
E κλεοῦς πάντες πάντα ποιοῦσιν, ὅσῳ ἂν ἀμείνους ὦσι, τοσούτῳ μᾶλλον· τοῦ γὰρ ἀθανάτου ἐρῶσιν. οἱ μὲν οὖν ἐγκύμονες, ἔφη, κατὰ τὰ σώματα ὄντες πρὸς τὰς γυναῖκας μᾶλλον τρέπονται καὶ ταύτῃ ἐρωτικοί εἰσι, διὰ παιδογονίας ἀθανασίαν καὶ μνήμην καὶ εὐδαιμονίαν, ὡς οἴονται, αὑτοῖς εἰς τὸν ἔπειτα χρόνον
209 πάντα ποριζόμενοι· οἱ δὲ κατὰ τὴν ψυχήν — εἰσὶ γὰρ οὖν, ἔφη, οἳ ἐν ταῖς ψυχαῖς κυοῦσιν ἔτι μᾶλλον ἢ ἐν τοῖς σώμασιν,

5 ἐρῶσι C | 6 κατὰ τὰ σώματα Sauppius: κατὰ σώματα BVC | 10 κύουσιν C | μᾶλλον ἔτι C

λου δὲ καὶ Ἀγχιρόης Ἀνδρόπομπος· Ἀνδροπόμπου δὲ καὶ Ἡνιόχης τῆς Ἁρμενίου τοῦ Ζευξίππου τοῦ Εὐμήλου τοῦ Ἀδμήτου Μέλανθος. οὗτος Ἡρακλειδῶν ἐπιόντων ἐκ Μεσσήνης εἰς Ἀθήνας ὑπεχώρησε, καὶ αὐτῷ γίνεται παῖς Κόδρος. χρόνῳ δὲ ὕστερον γενομένης τοῖς Βοιωτοῖς ἀμφισβητήσεως πρὸς Ἀθηναίους, ὡς μὲν τινές, περὶ Οἰνόης καὶ Πανάκτου, ὡς δὲ τινές, περὶ Μελαινῶν, καὶ τῶν Βοιωτῶν ἀξιούντων τοὺς βασιλέας προκινδυνεῦσαι περὶ τῆς χώρας εἰς μονομαχίαν καταστάντας, Ξάνθιος μὲν ὁ τῶν Βοιωτῶν βασιλεὺς ὑποδέχεται, Θυμοίτης δὲ ὁ τῶν Ἀθηναίων ἀρνεῖται, λέγων τῷ βουλομένῳ μονομαχεῖν τῆς ἀρχῆς παραχωρεῖν. Μέλανθος δὲ ὑποστὰς τὸν κίνδυνον ἐπὶ τῷ βασιλεῦσαι τῶν Ἀθηναίων αὐτὸν καὶ τοὺς ἐξ αὐτοῦ, ὁπλισάμενος προήει, καὶ πλησίον τοῦ Ξανθίου γενόμενος εἶπεν 'ἀδικεῖς, ὦ Ξάνθιε, σὺν ἑτέρῳ ἐπ' ἐμὲ ἥκων καὶ οὐ μόνος, ὡς ὡμολόγητο'. Ξάνθιος δὲ ταῦτα ἀκούσας μετεστράφη, θεάσασθαι βουλόμενος εἴ τις αὐτῷ ἑπόμενος εἴη· καὶ μεταστραφέντα βαλὼν αὐτὸν ἀπέκτεινε καὶ βασιλεὺς τῆς Ἀττικῆς ἐγένετο. ὅθεν τοῖς Ἀθηναίοις κρατήσασι τῆς χώρας ἔδοξεν ἑορτὴν ἄγειν, ἣν πάλαι μὲν ἀπατηνόρια, ὕστερον δὲ ἀπατούρια ἐκάλουν ὡς ἀπὸ τῆς γενομένης ἀπάτης. Μελάνθου δὲ Κόδρος γενόμενος ἐκδέχεται τὴν βασιλείαν· ὃς καὶ ὑπὲρ τῆς πατρίδος ἀπέθανε τρόπῳ τοιῷδε. πολέμου τοῖς Δωριεῦσιν ὄντος πρὸς Ἀθηναίους, ἔχρησεν ὁ θεὸς τοῖς Δωριεῦσιν αἱρήσειν τὰς Ἀθήνας, εἰ Κόδρον τὸν βασιλέα μὴ φονεύσωσι. γνοὺς δὲ τοῦτο ὁ Κόδρος, στείλας ἑαυτὸν εὐτελεῖ σκευῇ ὡς ξυλιστὴν καὶ δρέπανον λαβών, ἐπὶ τὸν χάρακα τῶν πολεμίων προήει. δύο δὲ αὐτῷ ἀπαντησάντων πολεμίων τὸν μὲν ἕνα πατάξας κατέβαλεν, ὑπὸ δὲ τοῦ ἑτέρου ἀγνοηθεὶς ὅστις ἦν, πληγεὶς ἀπέθανε, καταλιπὼν τὴν ἀρχὴν Μέδοντι τῷ πρεσβυτέρῳ τῶν παίδων. ὁ δὲ νεώτερος αὐτοῦ παῖς Νηλεὺς τῆς δωδεκαπόλεως Ἰωνίας κτιστὴς ἐγένετο. ἀφ' οὗ φασὶν Ἀθηναίοις τὴν τῶν Κοδριδῶν εὐγένειαν εἰς παροιμίαν περιστῆναι 'εὐγενέστερος Κόδρου', ἐπὶ τῶν πάνυ εὐγενῶν.



ἃ ψυχῇ προσήκει καὶ κυῆσαι καὶ τίκτειν· τί οὖν προσήκει; φρόνησίν τε καὶ τὴν ἄλλην ἀρετήν· ὧν δή εἰσι καὶ οἱ ποιηταὶ πάντες γεννήτορες καὶ τῶν δημιουργῶν ὅσοι λέγονται εὑρετικοὶ εἶναι· πολὺ δὲ μεγίστη, ἔφη, καὶ καλλίστη τῆς φρονήσεως ἡ περὶ τὰς τῶν πόλεών τε καὶ οἰκήσεων διακοσμήσεις, ᾗ δὴ ὄνομά ἐστι σωφροσύνη τε καὶ δικαιοσύνη· τούτων αὖ ὅταν τις ἐκ νέου ἐγκύμων ᾖ τὴν ψυχὴν [θεῖος ὢν] καὶ ἡκούσης τῆς B
ἡλικίας τίκτειν τε καὶ γεννᾶν ἤδη ἐπιθυμῇ, ζητεῖ δή, οἶμαι, καὶ οὗτος περιιὼν τὸ καλὸν ἐν ᾧ ἂν γεννήσειεν· ἐν τῷ γὰρ αἰσχρῷ οὐδέποτε γεννήσει. τά τε οὖν σώματα τὰ καλὰ μᾶλλον ἢ τὰ αἰσχρὰ ἀσπάζεται ὅ γε κυῶν, καὶ ἐὰν ἐντύχῃ ψυχῇ καλῇ καὶ γενναίᾳ καὶ εὐφυεῖ, πάνυ δὴ ἀσπάζεται τὸ ξυναμφότερον, καὶ πρὸς τοῦτον τὸν ἄνθρωπον εὐθὺς εὐπορεῖ λόγων περὶ ἀρετῆς καὶ οἷον χρὴ εἶναι τὸν ἄνδρα τὸν ἀγαθὸν καὶ ἃ ἐπιτηδεύειν, C
καὶ ἐπιχειρεῖ παιδεύειν. ἁπτόμενος γάρ, οἶμαι, τοῦ καλοῦ καὶ ὁμιλῶν αὐτῷ, ἃ πάλαι ἐκύει τίκτει καὶ γεννᾷ, καὶ παρὼν καὶ ἀπὼν μεμνημένος, καὶ τὸ γεννηθὲν συνεκτρέφει κοινῇ μετ' ἐκείνου, ὥστε πολὺ μείζω κοινωνίαν τῆς τῶν παίδων πρὸς ἀλλήλους οἱ τοιοῦτοι ἴσχουσι καὶ φιλίαν βεβαιοτέραν, ὅτε καλλιόνων καὶ ἀθανατωτέρων κεκοινωνηκότες. καὶ πᾶς ἂν δέξαιτο ἑαυτῷ τοιούτους παῖδας μᾶλλον γεγονέναι ἢ τοὺς ἀνθρωπίνους, D
καὶ εἰς Ὅμηρον ἀποβλέψας καὶ Ἡσίοδον καὶ τοὺς ἄλλους ποιητὰς τοὺς ἀγαθοὺς ζηλῶν, οἷα ἔκγονα ἑαυτῶν καταλείπουσιν, ἃ ἐκείνοις ἀθάνατον κλέος καὶ μνήμην παρέχεται αὐτὰ τοιαῦτα

1 καὶ κυῆσαι — προσήκει om C | τίκτειν scripsi: κυεῖν B κύειν V | 5 διακοσμήσεις ς Bastius krit. uers. p. 151 Heindorfius ad Cratyl. p. 28 Boeckhius ad Min. p. 26: διακόσμησις BVC | 6 δ' αὖ C | ὅτ' ἂν BVC | 8 ἐπιθυμῇ Stephanus: ἐπιθυμεῖ BVC | 9 περὶ ων BV | 11 ὅ γε Vsenerus: ἅτε BVC | κύων BV | ἂν BV | 12 δὲ Schleiermacherus | 14 καὶ οἷον Astius R. B. Hirschigius ztschr. f. d alterth. wiss. 1851 p. 332 misc. phil. III p. 69: καὶ περὶ οἷον BV καὶ περὶ τοῦ οἷον C καὶ περὶ οἵου Sommerus | 14 ἐπιτηδεύειν, ἐπιχειρεῖ R. B. Hirschigius | 16 ἀπὼν καὶ παρὼν C | 17 καὶ om. ς Bastius krit. uers. p. 151 Astius | 18 παιδογόνων uel παιδοσπόρων Bastius krit. uers. p. 72 πατέρων Vsenerus | 19 καλλίων ὢν BV | 20 ἀθανατωτέρων κεκοινωνηκότες ς Creuzerus zur gesch. d. griech. u. roem. litt. p. 154 sqq.: ἀθανατωτέρων παίδων κεκοινωνηκότες BVC | ἂν om. V | 23 ἑαυτὸν V | 24 τοιαῦτ' C

22 *Proclus ad Plat. de rep. p. 393* ἐν δ' αὖ τῷ συμποσίῳ — καὶ τὴν ὅλην αὐτῶν πραγματείαν θαυμάζει καὶ ζηλωτὸν εἶναί φησιν τοῖς ἔμφροσιν καὶ εἰς Ὅμηρον ἀποβλέψας καὶ Ἡσίοδον καὶ τοὺς ἄλλους ἀγαθοὺς ποιητάς, ζητῶν ⟨sic⟩ ὅσα ἔκγονα καταλείπουσι, ἃ ἐκείνοις ἀθάνατον κλέος καὶ μνήμην παρέχεται αὐτὰ τοιαῦτα ὄντα.

ὄντα· εἰ δὲ βούλει, ἔφη, οἵους Λυκοῦργος παῖδας κατελίπετο
ἐν Λακεδαίμονι σωτῆρας τῆς Λακεδαίμονος καὶ ὡς ἔπος εἰπεῖν
τῆς Ἑλλάδος. τίμιος δὲ παρ' ὑμῖν καὶ Σόλων διὰ τὴν τῶν νό-
E μων γέννησιν, καὶ ἄλλοι ἄλλοθι πολλαχοῦ ἄνδρες, καὶ ἐν Ἕλ-
λησι καὶ ἐν βαρβάροις, πολλὰ καὶ καλὰ ἀποφηνάμενοι ἔργα,
γεννήσαντες παντοίαν ἀρετήν· ὧν καὶ ἱερὰ πολλὰ ἤδη γέγονε
διὰ τοὺς τοιούτους παῖδας, διὰ δὲ τοὺς ἀνθρωπίνους οὐδε-
νός πω.

Ταῦτα μὲν οὖν τὰ ἐρωτικὰ ἴσως, ὦ Σώκρατες, κἂν σὺ 28
210 μυηθείης· τὰ δὲ τέλεα καὶ ἐποπτικά, ὧν ἕνεκα καὶ ταῦτα ἔστιν,
ἐάν τις ὀρθῶς μετίῃ, οὐκ οἶδ' εἰ οἷός τ' ἂν εἴης. ἐρῶ μὲν
οὖν, ἔφη, ἐγὼ καὶ προθυμίας οὐδὲν ἀπολείψω· πειρῶ δὲ ἕπε-
σθαι, ἂν οἷός τε ᾖς. δεῖ γάρ, ἔφη, τὸν ὀρθῶς ἰόντα ἐπὶ τοῦτο
τὸ πρᾶγμα ἄρχεσθαι μὲν νέον ὄντα ἰέναι ἐπὶ τὰ καλὰ σώματα,
καὶ πρῶτον μέν, ἐὰν ὀρθῶς ἡγῆται ὁ ἡγούμενος, ἑνὸς αὐτὸν
σώματος ἐρᾶν καὶ ἐνταῦθα γεννᾶν λόγους καλούς, ἔπειτα δὲ
B αὐτὸν κατανοῆσαι, ὅτι τὸ κάλλος τὸ ἐπὶ ὁτῳοῦν σώματι τῷ
ἐπὶ ἑτέρῳ σώματι ἀδελφόν ἐστι, καὶ εἰ δεῖ διώκειν τὸ ἐπ' εἴ-
δει καλόν, πολλὴ ἄνοια μὴ οὐχ ἕν τε καὶ ταὐτὸν ἡγεῖσθαι τὸ
ἐπὶ πᾶσι τοῖς σώμασι κάλλος· τοῦτο δ' ἐννοήσαντα καταστῆναι
πάντων τῶν καλῶν σωμάτων ἐραστήν, ἑνὸς δὲ τὸ σφόδρα τοῦτο

1 κατέλιπε τὸ B corr. b κατελείπετο C κατέλιπε τοῖς ς | 3 ὑμῖν ς: ἡμῖν BVC | 7 οὐδὲν οὐδενός πω R. B. Hirschigius misc. phil. III p 77 | 11 οὐκ οἶδ' ἂν εἴης Naberus obseru. crit in Plat. p. 19 | 15 αὐτὸν C | 16 δ' αὐτὸν C | 17 τὸ ἐπὶ BV | 18 τῷ ἑτέρῳ C | καὶ δεῖ — πολλὴ δ' ἄνοια Vsenerus | num εἰ δὴ δεῖ? | 20 τοῦτο c in rasura

4 *Clemens Alex. str. I p. 130* ἔν τε τῷ συμποσίῳ ἐπαινῶν Πλάτων τοὺς βαρβάρους ὡς διαφερόντως ἀσκήσαντας μόνους ἀληθῶς φησί 'καὶ ἄλλοθι πολλαχοῦ καὶ ἐν Ἕλλησι καὶ ἐν βαρβάροις, ὧν καὶ ἱερὰ πολλὰ ἤδη γέγονε διὰ τοὺς τοιούτους παῖδας'. | 13 *Plutarch. quaest. platon. III, 2 p. 1002 E* τὸ δὲ μέγιστον αὐτὸς ἐν συμποσίῳ διδάσκει πῶς δεῖ τοῖς ἐρωτικοῖς χρῆσθαι, μετάγοντα τὴν ψυχὴν ἀπὸ τῶν αἰσθητῶν καλῶν ἐπὶ τὰ νοητὰ παρεγγυᾷ μήτε σώματός τινος μήτ' ἐπιτηδεύματος μήτ' ἐπιστήμης κάλλει μιᾶς ὑποτετάχθαι καὶ δουλεύειν, ἀλλ' ἀποστάντα τῆς περὶ ταῦτα μικρολογίας ἐπὶ τὸ πολὺ τοῦ καλοῦ πέλαγος τρέπεσθαι. *Themistius 13 p. 168 C* τί γάρ φησιν ὁ τῆς πορείας τῆς ἐρωτικῆς ἐπιστήμων; ἄρχεσθαι μὲν ἀφ' ἑνὸς καλοῦ τῆς μελετῆς καὶ τούτῳ ἐγγενᾶν καὶ ἐντίκτειν λόγους καλούς, ἔπειτα καὶ αὐτὸν κατανοῆσαι ὅτι τὸ ἐφ' ὁτῳοῦν τῷ ἐφ' ἑτέρῳ ἀδελφόν ἐστι καὶ συγγενές. *Porphyr. ad Marc. 10* ἀφ' ὧν ὁρμώμενος καὶ ὁ θεῖος Πλάτων ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ τὰς ἀνακλήσεις πεποίηται.



χαλάσαι καταφρονήσαντα καὶ σμικρὸν ἡγησάμενον· μετὰ δὲ
ταῦτα τὸ ἐν ταῖς ψυχαῖς κάλλος τιμιώτερον ἡγήσασθαι τοῦ ἐν
τῷ σώματι, ὥστε καὶ ἐὰν ἐπιεικὴς ὢν τὴν ψυχήν τις καὶ σμι- C
κρὸν ἄνθος ἔχῃ, ἐξαρκεῖν αὐτῷ καὶ ἐρᾶν καὶ κήδεσθαι καὶ τί-
κτειν λόγους τοιούτους καὶ ζητεῖν, οἵτινες ποιήσουσι βελτίους
τοὺς νέους, ἵνα ἀναγκασθῇ αὖ θεάσασθαι τὸ ἐν τοῖς ἐπιτηδεύ-
μασι καὶ τοῖς νόμοις καλὸν καὶ τοῦτ' ἰδεῖν ὅτι πᾶν αὐτὸ αὑτῷ
ξυγγενές ἐστιν, ἵνα τὸ περὶ τὸ σῶμα καλὸν σμικρόν τι ἡγήσηται
εἶναι· μετὰ δὲ τὰ ἐπιτηδεύματα ἐπὶ τὰς ἐπιστήμας ἀγαγεῖν,
ἵνα ἴδῃ αὖ ἐπιστημῶν κάλλος, καὶ βλέπων πρὸς πολὺ ἤδη τὸ
καλὸν μηκέτι τῷ παρ' ἑνί, ὥσπερ οἰκέτης, ἀγαπῶν παιδαρίου D
κάλλος ἢ ἀνθρώπου τινὸς ἢ ἐπιτηδεύματος ἑνός, δουλεύων
φαῦλος ᾖ καὶ σμικρολόγος, ἀλλ' ἐπὶ τὸ πολὺ πέλαγος τετραμ-
μένος τοῦ καλοῦ καὶ θεωρῶν πολλοὺς καὶ καλοὺς λόγους καὶ
μεγαλοπρεπεῖς τίκτῃ καὶ διανοήματα ἐν φιλοσοφίᾳ ἀφθόνῳ,
ἕως ἂν ἐνταῦθα ῥωσθεὶς καὶ αὐξηθεὶς κατίδῃ τινὰ ἐπιστήμην
μίαν τοιαύτην, ἥ ἐστι καλοῦ τοιοῦδε. πειρῶ δέ μοι, ἔφη, τὸν
29 νοῦν προσέχειν ὡς οἷόν τε μάλιστα. ὃς γὰρ ἂν μέχρι ἐνταῦθα E
πρὸς τὰ ἐρωτικὰ παιδαγωγηθῇ, θεώμενος ἐφεξῆς τε καὶ ὀρ-
θῶς τὰ καλά, πρὸς τέλος ἤδη ἰὼν τῶν ἐρωτικῶν ἐξαίφνης κα-
τόψεταί τι θαυμαστὸν τὴν φύσιν καλόν, τοῦτο ἐκεῖνο, ὦ Σώ-
κρατες, οὗ δὴ ἕνεκεν καὶ οἱ ἔμπροσθεν πάντες πόνοι ἦσαν,
πρῶτον μὲν ἀεὶ ὂν καὶ οὔτε γιγνόμενον οὔτε ἀπολλύμενον, οὔτε 211
αὐξανόμενον οὔτε φθίνον, ἔπειτα οὐ τῇ μὲν καλόν, τῇ δ' αἰ-
σχρόν, οὐδὲ τοτὲ μέν, τοτὲ δ' οὔ, οὐδὲ πρὸς μὲν τὸ καλόν,
πρὸς δὲ τὸ αἰσχρόν, οὐδ' ἔνθα μὲν καλόν, ἔνθα δὲ αἰσχρόν,
ὡς τισὶ μὲν ὂν καλόν, τισὶ δὲ αἰσχρόν· οὐδ' αὖ φαντασθήσεται
αὐτῷ τὸ καλὸν οἷον πρόσωπόν τι οὐδὲ χεῖρες οὐδὲ ἄλλο οὐ-
δὲν ὧν σῶμα μετέχει, οὐδέ τις λόγος οὐδέ τις ἐπιστήμη, οὐδέ
που ὂν ἐν ἑτέρῳ τινί, οἷον ἐν ζῴῳ ἢ ἐν γῇ ἢ ἐν οὐρανῷ ἢ ἐν B
τῷ ἄλλῳ, ἀλλ' αὐτὸ καθ' αὑτὸ μεθ' αὑτοῦ μονοειδὲς ἀεὶ ὄν,

3 καὶ ἀνεπιεικὴς C | καὶ σμικρὸν Stallbaumius: καὶ ἐὰν σμικρὸν BVC κἂν σμικρὸν Hermannus | 5 καὶ ζητεῖν del. Astius | 6 ἀναγκασθεὶς — 8 ἐστιν τὸ Astius | 7 τοῦτο C | αὑτῷ c: αυτῷ B αὐτῷ VC | 10 ἵνά ιδη B ἵν' ἄδη V ἵν' ἴδῃ C | 11 τῷ παρ' B Schleiermacherus: τὸ παρ' VC | ὁ ἱκέτης Hommelius | παιδαρίου del. Astius | 12 καλὸς C | δουλεύων del. Bastius krit. uers. p. 73 | 15 μεγαλοπρεπῆς V | τίκτει BV | ἄφθονα Astius | 18 μέχρι καὶ ἐνταῦθα C | 21 τοῦτ' C | 22 ἔμπροσθε VC | 23 αἰεὶ BV | οὔτ' — οὔτ' C | 27 ὡς — αἰσχρόν del. Voegelinus | τισὶ δ' C | 30 πω V | 31 αἰεὶ BV

31 *Plotin. ennead. I, 6, 7 p. 56* τί δῆτα οἰόμεθα, εἴ τις αὐτὸ

τὰ δὲ ἄλλα πάντα καλὰ ἐκείνου μετέχοντα τρόπον τινὰ τοιοῦτον, οἷον γιγνομένων τε τῶν ἄλλων καὶ ἀπολλυμένων μηδὲν ἐκεῖνο μήτε τι πλέον μήτε ἔλαττον γίγνεσθαι μηδὲ πάσχειν μηδέν. ὅταν δή τις ἀπὸ τῶνδε διὰ τὸ ὀρθῶς παιδεραστεῖν ἐπανιὼν ἐκεῖνο τὸ καλὸν ἄρχηται καθορᾶν, σχεδὸν ἄν τι ἅπτοιτο τοῦ τέλους. τοῦτο γὰρ δή ἐστι τὸ ὀρθῶς ἐπὶ τὰ ἐρωτικὰ C ἰέναι ἢ ὑπ' ἄλλου ἄγεσθαι, ἀρχόμενον ἀπὸ τῶνδε τῶν καλῶν ἐκείνου ἕνεκα τοῦ καλοῦ ἀεὶ ἐπανιέναι, ὥσπερ ἐπαναβαθμοῖς χρώμενον, ἀπὸ ἑνὸς ἐπὶ δύο καὶ ἀπὸ δυεῖν ἐπὶ πάντα τὰ καλὰ σώματα, καὶ ἀπὸ τῶν καλῶν σωμάτων ἐπὶ τὰ καλὰ ἐπιτηδεύματα, καὶ ἀπὸ τῶν καλῶν ἐπιτηδευμάτων ἐπὶ τὰ καλὰ μαθήματα, † καὶ ἀπὸ τῶν μαθημάτων ἐπ' ἐκεῖνο τὸ μάθημα τελευτήσῃ, ὅ ἐστιν οὐκ ἄλλου ἢ αὐτοῦ ἐκείνου τοῦ καλοῦ μάθημα, D καὶ γνῷ αὐτὸ τελευτῶν ὃ ἔστι καλόν. ἐνταῦθα τοῦ βίου, ὦ

1 *τινὰ τρόπον* C | 4 *ὅτ' ἂν δὲ δὴ* C | 8 *αἰεὶ* BV | *ἐπαναβασμοῖς* C | 10 *σωμάτων ἐπὶ τὰς καλὰς ψυχάς, καὶ ἀπὸ τῶν καλῶν ψυχῶν ἐπὶ* Sydenhamius | *καλῶν* om. BV | 12 *ἔστ' ἂν ἀπὸ* ς *ἕως ἂν ἀπὸ* Stallbaumius *ἵνα ἀπὸ* Sauppius

τὸ καλὸν θεῷτο αὐτὸ ἐφ' ἑαυτοῦ καθαρόν μὴ σαρκῶν μὴ σώματος ἀνάπλεων, μὴ ἐν γῇ, μὴ ἐν οὐρανῷ, ἵν' ᾖ καθαρόν; | 4 *schol. B* τὸ παιδεραστεῖν ἐπὶ τοῦ παιδείας ἐρᾶν ἀεὶ κεῖται παρὰ Πλάτωνι ⟨in C adscriptum Θ i. σημ. nullo scholio addito⟩. | 9 *Clem. Alex. str. V p. 260* εἰκότως τοίνυν καὶ Πλάτων ἐθίζει τὰς βελτίστας φύσεις ἀφικνεῖσθαι πρὸς τὸ μάθημα, ὃ ἐν τῷ πρόσθεν ἔφαμεν εἶναι μέγιστον, ἰδεῖν τε τἀγαθὸν καὶ ἀναβῆναι ἐκείνην τὴν ἀνάβασιν. cf. *V p. 249* ἐὰν ἐπιχειρῇ τις ἄνευ πασῶν τῶν αἰσθήσεων διὰ τοῦ λόγου ἐπ' αὐτὸ ὅ ἐστιν ἕκαστον ὁρμᾶν καὶ μὴ ἀποστατεῖν τῶν ὄντων πρὶν ἐπαναβαίνων ἐπὶ τὰ ὑπερκείμενα αὐτῷ, ὅ ἐστιν ἀγαθόν, αὐτῇ νοήσει λάβῃ, ἐπ' αὐτῷ γενόμενος τῷ τοῦ νοητοῦ τέλει κατὰ Πλάτωνα. *Cyrillus c. Iulian. I p. 97 D* συμβῆναι δὲ τούτοις φαμὲν καὶ τὸν αὐτοῦ τοῦ Πλάτωνος λόγον· ἔφη γὰρ ὅτι ἀπὸ τοῦ κάλλους τῶν αἰσθητῶν ἐπὶ τὸ νοητὸν τοῦ θεοῦ κάλλος ἀναφοιτῆσαι δεήσει, ἀπὸ δὲ τοῦ ἐν τοῖς νόμοις καὶ τοῖς ἐπιτηδεύμασι τὴν ἀρετὴν αὐτοῦ δεῖ θεωρεῖν. *Plotin. ennead. I, 6, 1 p. 50* ἔστι δὲ καὶ προιοῦσι πρὸς τὸ ἄνω ἀπὸ τῆς αἰσθήσεως καὶ ἐπιτηδεύματα καλὰ καὶ πράξεις καὶ ἕξεις καὶ ἐπιστῆμαί τε καὶ τὸ τῶν ἀρετῶν κάλλος. *Procl. in Alcib. I p. 330* διὸ δὴ καὶ οἱ ἐρωτικοὶ παρακελεύονται μετὰ τὸ αἰσθητὸν καλὰ ἄγειν τοὺς ἐρωμένους ἐπὶ τὸ ἐν πράξεσι καὶ ἐπιτηδεύμασι καὶ ἐπιστήμαις καὶ ἀρεταῖς κάλλος κἀκεῖ γυμνάζειν τὸ ἐρωτικὸν ὅρμημα τῆς ψυχῆς, εἶθ' οὕτως ἐπὶ νοῦν καὶ τὸ ἐκεῖ πρωτουργὸν καὶ θεῖον κάλλος ἀνατείνεσθαι ὡς ὄντας δηλαδὴ τοῦ καλοῦ καὶ ἐν τούτοις, ἅ φαμεν τῆς ψυχῆς ἀγαθά.



φίλε Σώκρατες, ἔφη ἡ μαντινικὴ ξένη, εἴπερ που ἄλλοθι, βιωτὸν ἀνθρώπῳ, θεωμένῳ αὐτὸ τὸ καλόν. ὃ ἐάν ποτε ἴδῃς, οὐ κατὰ χρυσίον τε καὶ ἐσθῆτα καὶ τοὺς καλοὺς παῖδάς τε καὶ νεανίσκους δόξει σοι εἶναι, οὓς νῦν ὁρῶν ἐκπέπληξαι καὶ ἕτοιμος εἶ καὶ σὺ καὶ ἄλλοι πολλοί, ὁρῶντες τὰ παιδικὰ καὶ ξυνόντες ἀεὶ αὐτοῖς, εἴ πως οἷόν τ' ἦν, μήτε ἐσθίειν μήτε πίνειν, ἀλλὰ θεάσασθαι μόνον καὶ ξυνεῖναι. τί δῆτα, ἔφη, οἰόμεθα, εἴ τῳ γένοιτο αὐτὸ τὸ καλὸν ἰδεῖν εἰλικρινές, καθαρόν, E ἄμικτον, ἀλλὰ μὴ ἀνάπλεων σαρκῶν τε ἀνθρωπίνων καὶ χρωμάτων καὶ ἄλλης πολλῆς φλυαρίας θνητῆς, ἀλλ' αὐτὸ τὸ θεῖον καλὸν δύναιτο μονοειδὲς κατιδεῖν; ἆρ' οἴει, ἔφη, φαῦλον βίον γίγνεσθαι ἐκεῖσε βλέποντος ἀνθρώπου καὶ ἐκεῖνο ᾧ δεῖ θεω- 212 μένου καὶ ξυνόντος αὐτῷ; ἢ οὐκ ἐνθυμεῖ, ἔφη, ὅτι ἐνταῦθα αὐτῷ μοναχοῦ γενήσεται, ὁρῶντι ᾧ ὁρατὸν τὸ καλόν, τίκτειν οὐκ εἴδωλα ἀρετῆς, ἅτε οὐκ εἰδώλου ἐφαπτομένῳ, ἀλλ' ἀληθῆ, ἅτε τοῦ ἀληθοῦς ἐφαπτομένῳ· τεκόντι δὲ ἀρετὴν ἀληθῆ καὶ θρεψαμένῳ ὑπάρχει θεοφιλεῖ γενέσθαι, καὶ εἴπερ τῳ ἄλλῳ ἀνθρώπων ἀθανάτῳ καὶ ἐκείνῳ;

30 Ταῦτα δή, ὦ Φαῖδρέ τε καὶ οἱ ἄλλοι, ἔφη μὲν Διοτίμα, B πέπεισμαι δ' ἐγώ· πεπεισμένος δὲ πειρῶμαι καὶ τοὺς ἄλλους πείθειν, ὅτι τούτου τοῦ κτήματος τῇ ἀνθρωπείᾳ φύσει συνεργὸν ἀμείνω Ἔρωτος οὐκ ἄν τις ῥᾳδίως λάβοι. διὸ δὴ ἔγωγέ φημι χρῆναι πάντα ἄνδρα τὸν Ἔρωτα τιμᾶν καὶ αὐτὸς τιμῶ, καὶ τὰ ἐρωτικὰ διαφερόντως ἀσκῶ καὶ τοῖς ἄλλοις παρακελεύομαι, καὶ νῦν τε καὶ ἀεὶ ἐγκωμιάζω τὴν δύναμιν καὶ ἀνδρείαν τοῦ Ἔρωτος καθ' ὅσον οἷός τ' εἰμί. τοῦτον οὖν τὸν λόγον, C ὦ Φαῖδρε, εἰ μὲν βούλει, ὡς ἐγκώμιον εἰς Ἔρωτα νόμισον εἰρῆσθαι, εἰ δέ, ὅ τι καὶ ὅπῃ χαίρεις ὀνομάζων, τοῦτο ὀνόμαζε.

Εἰπόντος δὲ ταῦτα τοῦ Σωκράτους τοὺς μὲν ἐπαινεῖν, τὸν δὲ Ἀριστοφάνη λέγειν τι ἐπιχειρεῖν, ὅτι ἐμνήσθη αὐτοῦ λέγων ὁ Σωκράτης περὶ τοῦ λόγου· καὶ ἐξαίφνης τὴν αὔλειον θύραν κρουομένην πολὺν ψόφον παρασχεῖν ὡς κωμαστῶν, καὶ αὐλη-

2 *ποτ' εἴδῃς* BV *ποτε εἴδῃς* C | 3 *αἰσθῆτα* V | 6 *αἰεὶ* BV | *μήτ'* C | 7 *θεᾶσθαι* C | *δῆτ'* C | 9 *ἀλλὰ* del. Astius | 12 *ἐκεῖνο δὴ* Schleiermacherus | *ὃ* C | 13 *ἢ οὐκ ἐνθυμῇ* C | 15 *οὔτε οὐκ* C | *εἰδόλου* V | *ἀλλὰ* V | *ἀλλ' — ἐφαπτομένῳ* om. C | 17 *θεοφιλεῖ* ς: *θεοφιλῆ* BVC | 19 *τε* om. C | 24 *καὶ τὰ ἐρωτικὰ* Vsenerus: *τὰ ἐρωτικὰ καὶ* BVC | 25 *αἰεὶ* BV | 28 *τοῦτ'* C | 29 *τὸν δ'* C | 31 *αὔλειον* ς: *αὔλιον* BVC

9 *Tim.* ἀνάπλεως· ἀναπεπλησμένος. χρῆται δὲ ἐπὶ τοῦ μεμολυσμένου.

D τρίδος φωνὴν ἀκούειν. τὸν οὖν Ἀγάθωνα Παῖδες, φάναι, οὐ
σκέψεσθε; καὶ ἐὰν μέν τις τῶν ἐπιτηδείων ᾖ, καλεῖτε· εἰ δὲ
μή, λέγετε ὅτι οὐ πίνομεν, ἀλλ' ἀναπαυόμεθα ἤδη. καὶ οὐ
πολὺ ὕστερον Ἀλκιβιάδου τὴν φωνὴν ἀκούειν ἐν τῇ αὐλῇ σφό-
δρα μεθύοντος καὶ μέγα βοῶντος, ἐρωτῶντος ὅπου Ἀγάθων
καὶ κελεύοντος ἄγειν παρ' Ἀγάθωνα. ἄγειν οὖν αὐτὸν παρὰ
σφᾶς τήν τε αὐλητρίδα ὑπολαβοῦσαν καὶ ἄλλους τινὰς τῶν ἀκο-
E λούθων καὶ ἐπιστῆναι ἐπὶ τὰς θύρας ἐστεφανωμένον αὐτὸν
κιττοῦ τέ τινι στεφάνῳ δασεῖ καὶ ἴων, καὶ ταινίας ἔχοντα ἐπὶ
τῆς κεφαλῆς πάνυ πολλάς, καὶ εἰπεῖν· Ἄνδρες, χαίρετε· με-
θύοντα ἄνδρα πάνυ σφόδρα δέξεσθε συμπότην, ἢ ἀπίωμεν
ἀναδήσαντες μόνον Ἀγάθωνα, ἐφ' ᾧπερ ἤλθομεν; ἐγὼ γάρ τοι,
φάναι, χθὲς μὲν οὐχ οἷός τ' ἐγενόμην ἀφικέσθαι, νῦν δὲ ἥκω
ἐπὶ τῇ κεφαλῇ ἔχων τὰς ταινίας, ἵνα ἀπὸ τῆς ἐμῆς κεφαλῆς
τὴν τοῦ σοφωτάτου καὶ καλλίστου κεφαλὴν ἀνειπὼν οὑτωσὶ
ἀναδήσω. ἆρα καταγελάσεσθέ μου ὡς μεθύοντος; ἐγὼ δέ, κἂν
213 ὑμεῖς γελᾶτε, ὅμως εὖ οἶδ' ὅτι ἀληθῆ λέγω. ἀλλά μοι λέγετε
αὐτόθεν, ἐπὶ ῥητοῖς εἰσίω ἢ μή; συμπίεσθε ἢ οὔ; πάντας οὖν
ἀναθορυβῆσαι καὶ κελεύειν εἰσιέναι καὶ κατακλίνεσθαι, καὶ τὸν
Ἀγάθωνα καλεῖν αὐτόν. καὶ τὸν ἰέναι ἀγόμενον ὑπὸ τῶν ἀν-
θρώπων, καὶ περιαιρούμενον ἅμα τὰς ταινίας ὡς ἀναδήσοντα,
ἐπίπροσθε τῶν ὀφθαλμῶν ἔχοντα οὐ κατιδεῖν τὸν Σωκράτη,
ἀλλὰ καθίζεσθαι παρὰ τὸν Ἀγάθωνα ἐν μέσῳ Σωκράτους τε
B καὶ ἐκείνου· παραχωρῆσαι γὰρ τὸν Σωκράτη ὡς ἐκεῖνον καθίζειν.
παρακαθεζόμενον δὲ αὐτὸν ἀσπάζεσθαί τε τὸν Ἀγάθωνα καὶ
ἀναδεῖν. εἰπεῖν οὖν τὸν Ἀγάθωνα Ὑπολύετε, παῖδες, Ἀλκι-
βιάδην, ἵνα ἐκ τρίτων κατακέηται. Πάνυ γε, εἰπεῖν τὸν Ἀλκι-
βιάδην· ἀλλὰ τίς ἡμῖν ὅδε τρίτος συμπότης; καὶ ἅμα μετα-
στρεφόμενον αὐτὸν ὁρᾶν τὸν Σωκράτη, ἰδόντα δὲ ἀναπηδῆσαι

3 λέγεται V | ἀλλὰ B | 5 ἐρωτῶντος del. Hommelius | 6 ἒ ἄγειν R. B. Hirschigius philolog. VIIII p. 561 | 7 σφὰς B | 8 αὐτὸν om. C | 9 τενίας BV | 11 δέξασθε C | 12 ὅπερ C | ἤχθομεν BV corr. b | 13 οἷς τ' BV | 14 τενίας BV | ἵν' C | 15 κεφαλὴν del. R. B. Hirschigius zeitschr. f. d. alterth. wiss. 1851 p. 332 | ἀνειπὼν Winckelmannus act. soc. graec. II p. 19: ἐὰν εἴπω BV εὖ ἂν εἴπω C ἵν' εἴπω Orellius ἐὰν εἶπον Hommelius ἐὰν ἀνείπω Winckelmannus ὧν εἶδον Vsenerus | 16 ἄρα, ἐὰν εἴπω οὑτωσί, καταγελάσεσθε Astius | ἄρα B | 19 κελεύει BV corr. b | 21 τενίας V | 25 δ' αὐτὸν C | 28 ᾧδε BV | τρίτος ὅδε C | συμπότης τρίτος V | 29 ὁρᾷ BV | δ' ἀναπηδῆσαι C

4 *Gell. I, 9, 9* hic a symposio Platonis incipere gestit propter Alcibiadae comisationem.



καὶ εἰπεῖν Ὦ Ἡράκλεις, τουτὶ τί ἦν; Σωκράτης οὗτος; ἐλλο-
χῶν αὖ με ἐνταῦθα κατέκεισο, ὥσπερ εἰώθης ἐξαίφνης ἀνα- C
φαίνεσθαι ὅπου ἐγὼ ᾤμην ἥκιστά σε ἔσεσθαι. καὶ νῦν τί
ἥκεις; καὶ τί αὖ ἐνταῦθα κατεκλίνης, ὡς οὐ παρὰ Ἀριστοφάνει
οὐδὲ εἴ τις ἄλλος γελοῖος ἔστι τε καὶ βούλεται, ἀλλὰ διεμη-
χανήσω ὅπως παρὰ τῷ καλλίστῳ τῶν ἔνδον κατακείσει; καὶ
τὸν Σωκράτη Ὦ Ἀγάθων, φάναι, ὅρα εἴ μοι ἐπαμυνεῖς· ὡς
ἐμοὶ ὁ τούτου ἔρως τοῦ ἀνθρώπου οὐ φαῦλον πρᾶγμα γέγονεν.
ἀπ' ἐκείνου γὰρ τοῦ χρόνου, ἀφ' οὗ τούτου ἠράσθην, οὐκέτι
ἔξεστί μοι οὔτε προσβλέψαι οὔτε διαλεχθῆναι καλῷ οὐδ' ἐνί, D
ἢ οὑτοσὶ ζηλοτυπῶν με καὶ φθονῶν θαυμαστὰ ἐργάζεται καὶ
λοιδορεῖταί τε καὶ τὼ χεῖρε μόγις ἀπέχεται. ὅρα οὖν μή τι
καὶ νῦν ἐργάσηται, ἀλλὰ διάλλαξον ἡμᾶς, ἢ ἐὰν ἐπιχειρῇ βιά-
ζεσθαι, ἐπάμυνε, ὡς ἐγὼ τὴν τούτου μανίαν τε καὶ φιλερα-
στίαν πάνυ ὀρρωδῶ. Ἀλλ' οὐκ ἔστι, φάναι τὸν Ἀλκιβιάδην,
ἐμοὶ καὶ σοὶ διαλλαγή. ἀλλὰ τούτων μὲν εἰσαῦθίς σε τιμωρή-
σομαι, νῦν δέ μοι, ὦ Ἀγάθων, φάναι, μετάδος τῶν ταινιῶν,
ἵνα ἀναδήσωμεν καὶ [τὴν τούτου] ταυτηνὶ τὴν θαυμαστὴν κε- E
φαλήν, καὶ μή μοι μέμφηται, ὅτι σὲ μὲν ἀνέδησα, αὐτὸν δὲ
νικῶντα ἐν λόγοις πάντας ἀνθρώπους, οὐ μόνον πρῴην ὥσπερ
σύ, ἀλλ' ἀεί, ἔπειτα οὐκ ἀνέδησα. καὶ ἅμ' αὐτὸν λαβόντα τῶν
31 ταινιῶν ἀναδεῖν τὸν Σωκράτη καὶ κατακλίνεσθαι. ἐπειδὴ δὲ
κατεκλίνη, εἰπεῖν Εἶεν δή, ἄνδρες· δοκεῖτε γάρ μοι νήφειν.
οὐκ ἐπιτρεπτέον ὑμῖν, ἀλλὰ ποτέον· ὡμολόγηται γὰρ ταῦθ'
ἡμῖν. ἄρχοντα οὖν αἱροῦμαι τῆς πόσεως, ἕως ἂν ὑμεῖς ἱκα-
νῶς πίητε, ἐμαυτόν. ἀλλὰ φέρετ', ὦ Ἀγάθων, εἴ τι ἔστιν ἔκ-
πωμα μέγα. μᾶλλον δὲ οὐδὲν δεῖ, ἀλλὰ φέρε, παῖ, φάναι,
τὸν ψυκτῆρα ἐκεῖνον, ἰδόντα αὐτὸν πλέον ἢ ὀκτὼ κοτύλας χω- 214

1 τοῦτ' εἰπεῖν BV | ἐνλοχῶν BV | 2 εἰώθεις VC | 4 ἂν ἐνταῦθα C | καὶ οὐ Hermannus | παρ' C | 5 οὔτε C | 6 κατακείσῃ BVC | 7 ὦ Ἀγάθων ς: Ἀγάθων BVC | ἐπαμύνεις C | 10 ἔξεστιν BV | οὐδενί C | 11 οὑτοσί πως C | θαυμάσια C | 12 μόλις C | 14 ἐπάμυναι BV | 17 ὦ Ἀγάθων Sauppius: Ἀγάθων BVC | τενίων BV corr. b | 18 ἵν' C | ἀναδήσωμεν καὶ Hermannus: ἀναδησώμεθα BV ἀναδήσω καὶ C | 21 αἰεὶ BV | ἅμα C | 22 τενιῶν B τενίων V | 24 οὖν ὑμῖν C | 26 φέρετ' ὦ Cobetus uar. lectt. p. 142 (mnemos. III p. 318): φερέτω BVC | ἔκπομα BV | 27 ἀλλὰ φέρε — ἐγχεῖν 1 Athenaeus XI p. 502 C

28 *schol.* ψυκτήρ· σκεῦος ἔνθα διανίζουσι τὰ ποτήρια ⟨sic *Photius*⟩, ἢ ποτηρίου εἶδος, ὡς Εὐριπίδης Τηλέφῳ. *Tim.* ψυκτήρ· ποτήριον μέγα καὶ πλατύ, εἰς ψυχροποσίαν παρεσκευασμένον. *Moer.* ψυκτῆρα· Πλάτων συμποσίῳ· ἔστι δὲ ὁ

ϱοῦντα. τοῦτον ἐμπλησάμενον πρῶτον μὲν αὐτὸν ἐκπιεῖν, ἔπειτα
τῷ Σωκράτει κελεύειν ἐγχεῖν καὶ ἅμα εἰπεῖν Πρὸς μὲν Σω-
κράτη, ὦ ἄνδρες, τὸ σόφισμά μοι οὐδέν· ὁπόσον γὰρ ἂν κε-
λεύῃ τις, τοσοῦτον ἐκπιὼν οὐδὲν μᾶλλον μή ποτε μεθυσθῇ.
τὸν μὲν οὖν Σωκράτη ἐγχέαντος τοῦ παιδὸς πίνειν· τὸν δ' Ἐρυ-
ξίμαχον Πῶς οὖν, φάναι, ὦ Ἀλκιβιάδη, ποιοῦμεν; οὕτως οὔτε
B τι λέγομεν ἐπὶ τῇ κύλικι οὔτ' ἐπᾴδομεν, ἀλλ' ἀτεχνῶς ὥσπερ
οἱ διψῶντες πιόμεθα; τὸν οὖν Ἀλκιβιάδην εἰπεῖν Ὦ Ἐρυξί-
μαχε, βέλτιστε βελτίστου πατρὸς καὶ σωφρονεστάτου, χαῖρε.
Καὶ γὰρ σύ, φάναι τὸν Ἐρυξίμαχον· ἀλλὰ τί ποιῶμεν; Ὅ τι
ἂν σὺ κελεύῃς. δεῖ γάρ σοι πείθεσθαι· ἰατρὸς γὰρ ἀνὴρ πολ-
λῶν ἀντάξιος ἄλλων· ἐπίταττε οὖν ὅ τι βούλει. Ἄκουσον δή,
εἰπεῖν τὸν Ἐρυξίμαχον. ἡμῖν πρὶν σὲ εἰσελθεῖν ἔδοξε χρῆναι
C ἐπὶ δεξιὰ ἕκαστον ἐν μέρει λόγον περὶ Ἔρωτος εἰπεῖν ὡς δύ-
ναιτο κάλλιστον καὶ ἐγκωμιάσαι. οἱ μὲν οὖν ἄλλοι πάντες
ἡμεῖς εἰρήκαμεν· σὺ δ' ἐπειδὴ οὐκ εἴρηκας καὶ ἐκπέπωκας, δί-
καιος εἶ εἰπεῖν, εἰπὼν δὲ ἐπιτάξαι Σωκράτει ὅ τι ἂν βούλῃ,
καὶ τοῦτον τῷ ἐπὶ δεξιὰ καὶ οὕτω τοὺς ἄλλους. Ἀλλά, φάναι,
ὦ Ἐρυξίμαχε, τὸν Ἀλκιβιάδην, καλῶς μὲν λέγεις, μεθύοντα δὲ
ἄνδρα παρὰ νηφόντων λόγους παραβάλλειν μὴ οὐκ ἐξ ἴσου ᾖ.

1 τοῦτον οὖν Athenaeus | 7 οὔτέ τι ᾄδομεν C | 11 δ' ἂν C | ἰη-
τρὸς C | 14 ἐπιδέξια BVC | ὡς ἂν δύναιτο Sauppius | 17 εἰπὼν δ' C | 18
ἐπιδέξια BVC | 20 οὐκ om. C

ψυκτὴρ σκεῦος, ἐν ᾧ διανίζουσι τὰ ποτήρια, μεστὸν ὕδατος ψυ-
χροῦ, ἢ ὃ λέγομεν ἡμεῖς πρόχυμα ⟨*schol. Arist. uesp.* 617
δῖνος ἐστὶν ἀγγεῖόν τι κεράμειον οἴνου, οἷον πρόχυμα⟩. *Suid.*
ψυκτῆρα· κάδδον ἢ ποτήριον μέγα, ἀπὸ τοῦ θᾶττον ψύχεσθαι
ἐν αὐτῷ τὴν κρᾶσιν. *Poll. VI, 99* ὁ δὲ ψυκτὴρ πολυθρύλητος,
ὃν καὶ δῖνον ἐκάλουν ⟨*Athen. XI p. 503 C* Διονύσιος δὲ ὁ
Τρύφωνος ἐν τῷ περὶ ὀνομάτων 'τὸν ψυγέα' φησίν 'ἐκάλουν
οἱ ἀρχαῖοι δῖνον'⟩, ἐν ᾧ ἦν ὁ ἄκρατος· οἱ πολλοὶ δὲ ἀκρατο-
φόρον αὐτὸν καλοῦσιν. οὐ μὴν ἔχει πυθμένα ἀλλ' ἀστραγαλί-
σκους. *schol. Clem. Alex. p. 122 Kl.* ψυκτήρ· κυλινδρικοῦ σχή-
ματος κατατομή, κάτωθεν κιονίδι ἐπὶ πρίσματι κυλινδρικῷ ἑδρα-
ζομένη. *Hesych.* κάλαθος· ποτήριον, ὁ καὶ ψυκτήρ. Cf. *Ale-
xis (Aesop. fr. 9) ap. Athen. X p. 431 F* τὸ μὲν γὰρ ἕτερον λου-
τρόν ἐστιν, οὐ πότος, ψυκτῆρι πίνειν καὶ κάδοις. *Max. Tyr. 31, 7*
Σωκράτης ἔχαιρεν ἐν τῷ δεσμωτηρίῳ μένων καὶ πειθόμενος
τῷ νόμῳ· παραβάλλωμεν τὴν Σωκράτους κύλικα ἐκείνην τῇ Ἀλκι-
βιάδου· πότερος αὐτῶν ἔπινεν ἀλυπότερον, Ἀλκιβιάδης τὸν οἶνον,
ἢ τὸ φάρμακον Σωκράτης; | *schol.* τρίτον μέρος ἡ κοτύλη τῆς
χοίνικος. | 11 *Homer. Il. Λ, 514.* | 20 *Favorinus apud Ioa.*



καὶ ἅμα, ὦ μακάριε, πείθει τί σε Σωκράτης ων ἄρτι εἶπεν; ἢ D
οἶσθα ὅτι τοὐναντίον ἐστὶ πᾶν ἢ ὃ ἔλεγεν; οὗτος γάρ, ἐάν
τινα ἐγὼ ἐπαινέσω τούτου παρόντος ἢ θεὸν ἢ ἄνθρωπον ἄλλον
ἢ τοῦτον, οὐκ ἀφέξεταί μου τὼ χεῖρε. Οὐκ εὐφημήσεις; φά-
ναι τὸν Σωκράτη. Μὰ τὸν Ποσειδῶ, εἰπεῖν τὸν Ἀλκιβιάδην,
μηδὲν λέγε πρὸς ταῦτα, ὡς ἐγὼ οὐδ' ἂν ἕνα ἄλλον ἐπαινέσαιμι
σοῦ παρόντος. Ἀλλ' οὕτω ποίει, φάναι τὸν Ἐρυξίμαχον, εἰ
βούλει· Σωκράτη ἐπαίνεσον. Πῶς λέγεις; εἰπεῖν τὸν Ἀλκιβιά- E
δην· δοκεῖ χρῆναι, ὦ Ἐρυξίμαχε; ἐπιθῶμαι τῷ ἀνδρὶ καὶ τιμω-
ρήσωμαι ὑμῶν ἐναντίον; Οὗτος, φάναι τὸν Σωκράτη, τί ἐν νῷ
ἔχεις; ἐπὶ τὰ γελοιότερά με ἐπαινέσει, ἢ τί ποιήσεις; Τἀληθῆ
ἐρῶ. ἀλλ' ὅρα εἰ παρίης. Ἀλλὰ μέντοι, φάναι, τά γε ἀληθῆ
παρίημι καὶ κελεύω λέγειν. Οὐκ ἂν φθάνοιμι, εἰπεῖν τὸν Ἀλ-
κιβιάδην. καὶ μέντοι οὑτωσὶ ποίησον. ἐάν τι μὴ ἀληθὲς λέγω,
μεταξὺ ἐπιλαβοῦ, ἂν βούλῃ, καὶ εἰπὲ ὅτι τοῦτο ψεύδομαι·
ἑκὼν γὰρ εἶναι οὐδὲν ψεύσομαι. ἐὰν μέντοι ἀναμιμνησκόμενος 215
ἄλλο ἄλλοθεν λέγω, μηδὲν θαυμάσῃς· οὐ γάρ τι ῥᾴδιον τὴν
σὴν ἀτοπίαν ὧδ' ἔχοντι εὐπόρως καὶ ἐφεξῆς καταριθμῆσαι.
32 Σωκράτη δ' ἐγὼ ἐπαινεῖν, ὦ ἄνδρες, οὕτως ἐπιχειρήσω,
δι' εἰκόνων. οὗτος μὲν οὖν ἴσως οἰήσεται ἐπὶ τὰ γελοιότερα,
ἔσται δ' ἡ εἰκὼν τοῦ ἀληθοῦς ἕνεκα, οὐ τοῦ γελοίου. φημὶ
γὰρ δὴ ὁμοιότατον αὐτὸν εἶναι τοῖς σιληνοῖς τούτοις τοῖς ἐν

1 ων B ὧν V | εἶπε V | 2 οἶσθ' C | 3 τιν' C | 6 ἄλλον ἕνα C | 11
ἐπαινέσει Bekkerus: ἐπαινέσεις BVC | 16 ψεύδομαι V | 20 οὖν om. C

*Stob. flor. LXV, 8* λέγε Ἀλκιβιάδη· κἂν μεθύῃς, ἀκουσόμεθα τοῦ
μεθύοντος ἡδέως. | 22 *schol.* σιληνοί· Διονύσου χορευταί, παρὰ
τὸ σιλλαίνειν, ὅ ἐστι σκώπτειν, λεγόμενοι, παρὰ τοὺς πότους. |
*Iulianus or. 6 p. 187 A* χρήσομαι γὰρ ἐκείνοις ἐγὼ τοῖς ῥήμασιν,
οἷς Ἀλκιβιάδης ἐπαινῶν Σωκράτη. φημὶ γὰρ δὴ τὴν κυνικὴν
φιλοσοφίαν ὁμοιοτάτην εἶναι τοῖς σιληνοῖς τούτοις τοῖς ἐν τοῖς
ἑρμογλυφείοις καθημένοις, οὕς τινας ἐργάζονται οἱ δημιουργοὶ
σύριγγας ἢ αὐλοὺς ἔχοντας, οἱ δὲ διοιχθέντες ἔνδον φαίνονται
ἀγάλματα ἔχοντες θεῶν. *Synes. epp. 153 p. 292 B* ὥσπερ ἐποίουν
Ἀθηνῆσιν οἱ δημιουργοὶ Ἀφροδίτην καὶ Χάριτας καὶ τοιαῦτα
κάλλη θεῶν ἀγάλμασι σιληνῶν καὶ σατύρων ἀμπίσχοντες. *etym.
m. p. 146* ἁρμάριον. ὅτι τὰ λεγόμενα παρ' ἡμῖν ἁρμάρια ἑρ-
μάρια ὀφείλουσι λέγεσθαι, ὡς εὗρον ἐν τοῖς σχολίοις τοῦ
ἁγίου Διονυσίου, ἀρχῇ τοῦ θ' κεφαλαίου περὶ τῶν θείων
ὀνομάτων ⟨t. I p. 808⟩. οἱ γὰρ Ἕλληνες οἷα τινὰς ἀνδριάντας
ἐποίουν μήτε χεῖρας μήτε πόδας ἔχοντας· τούτους δὲ ἑρμᾶς ἐκά-
λουν; οὗ ὑποκοριστικὸν ἑρμάριον· ἐποίουν δὲ αὐτοὺς διακέ-

B τοῖς ἑρμογλυφείοις καθημένοις, οὕστινας ἐργάζονται οἱ δημι-
ουργοὶ σύριγγας ἢ αὐλοὺς ἔχοντας, οἳ διχάδε διοιχθέντες φαί-
νονται ἔνδοθεν ἀγάλματα ἔχοντες θεῶν. καὶ φημὶ αὖ ἐοικέναι
αὐτὸν τῷ σατύρῳ τῷ Μαρσύᾳ. ὅτι μὲν οὖν τό γε εἶδος ὅμοιος
εἶ τούτοις, ὦ Σώκρατες, οὐδ' αὐτὸς ἂν δήπου ἀμφισβητήσαις·
ὡς δέ καὶ τἆλλα ἔοικας, μετὰ τοῦτο ἄκουε. ὑβριστὴς εἶ· ἢ
οὔ; ἐὰν γὰρ μὴ ὁμολογῇς, μάρτυρας παρέξομαι. ἀλλ' οὐκ αὐ-
C λητής; πολύ γε θαυμασιώτερος ἐκείνου· ὁ μέν γε δι' ὀργάνων
ἐκήλει τοὺς ἀνθρώπους τῇ ἀπὸ τοῦ στόματος δυνάμει, καὶ ἔτι
νυνὶ ὃς ἂν τὰ ἐκείνου αὐλῇ. ἃ γὰρ Ὄλυμπος ηὔλει, Μαρσύου
λέγω, τούτου διδάξαντος. τὰ οὖν ἐκείνου ἐάν τε ἀγαθὸς αὐλη-
τὴς αὐλῇ ἐάν τε φαύλη αὐλητρίς, μόνα κατέχεσθαι ποιεῖ καὶ
δηλοῖ τοὺς τῶν θεῶν τε καὶ τελετῶν δεομένους διὰ τὸ θεῖα
εἶναι. σὺ δ' ἐκείνου τοσοῦτον μόνον διαφέρεις, ὅτι ἄνευ ὀργά-
νων ψιλοῖς λόγοις ταὐτὸν τοῦτο ποιεῖς. ἡμεῖς γοῦν ὅταν μέν
D του ἄλλου ἀκούομεν λέγοντος καὶ πάνυ ἀγαθοῦ ῥήτορος ἄλλους
λόγους, οὐδὲν μέλει, ὡς ἔπος εἰπεῖν, οὐδενί· ἐπειδὰν δὲ σοῦ
τις ἀκούῃ ἢ τῶν σῶν λόγων ἄλλου λέγοντος, κἂν πάνυ φαῦλος

2 *δίχα* Stephanus | 5 *οὐδ' αὐτὸς ἂν* Sauppius: *οὐδ' αὐτὸς* BVC *οὐδ' ἂν* Stallbaumius *οὐδ' αὐτὸς ἂν που* Baiterus | *ἀμφισβητήσεις* ς | 7 *παρέξομαι μάρτυρας* C | 12 *μόνους — κηλεῖ* Orellius ad Isocr. de perm. p. 333, improb. p. 464 | *θείᾳ μοίρᾳ* uel *μανίᾳ κατέχεσθαι* Winckelmannus ad spur. diall. Plat. p. X | 13 *δηλοῖ θνητοὺς τῶν* Hommelius

νους, θύρας ἔχοντας καθάπερ τοιχοπυργίσκους· καὶ ἔσωθεν αὐτῶν ἐτίθουν ἀγάλματα ὧν ἔσεβον θεῶν, ἔξωθεν δὲ ἀπέκλειον τοὺς ἑρμᾶς. | 4 *schol.* σάτυροι· Διονύσου ὀπαδοὶ καὶ οὗτοι, οἳ διὰ τὸ ἐν ὄρεσιν οἰκεῖν ἀλουτοῦντες, τράγων σκέλη καὶ τρίχας νομιζόμενοι ἔχειν παραδέδονται, καὶ ταύτῃ καλεῖσθαι ἀπὸ τοῦ σεσηρέναι τῷ οἴνῳ, τουτέστι κεχηνέναι· φίλοινοι γάρ εἰσι. Μαρσύας δὲ αὐλητής, Ὀλύμπου υἱός, ὃς τοὺς αὐλοὺς Ἀθηνᾶς ῥιψάσης διὰ τὸ ἐνασχημονεῖν αὐτοῖς ἀνελόμενος ἤρισεν Ἀπόλλωνι περὶ μουσικῆς, καὶ ἡττήθη, καὶ ποινὴν δέδωκε τὸ δέρμα δαρείς· ἀφ' οὗπερ αἵματος ἔρρευσε ποταμὸς ὁ ἐξ αὐτοῦ ὕστερον Μαρσύας κληθείς. | 10 *schol. B* ἐκείνου· ἐν ἤθει, Μαρσύου. | 11 *Minos p. 318 B.* Σω. ἆρ' οὖν ὁ Μαρσύας λέγεται καὶ τὰ παιδικὰ αὐτοῦ Ὄλυμπος ὁ Φρύξ; Ἑτ. ἀληθῆ λέγεις. Σω. τούτων δὴ καὶ τὰ αὐλήματα θειότατά ἐστι καὶ μόνα κινεῖ καὶ ἐκφαίνει τοὺς τῶν θεῶν ἐν χρείᾳ ὄντας· καὶ ἔτι καὶ νῦν μόνα λοιπά, ὡς θεῖα ὄντα. | 14 *Max. Tyr. 24, 9* ἤδη δέ που καὶ τὴν τέχνην ἀπεκαλύψατο ⟨Ἀνακρέων⟩ 'ἐμὲ γὰρ λόγων εἵνεκα παῖδες ἂν φιλοῖεν· χαρίεντα μὲν γὰρ ᾄδω, χαρίεντα δ' οἶδα λέξαι' ⟨fr. 45⟩. τοῦτο καὶ περὶ Σωκράτους Ἀλκιβιάδης ἔλεγεν, εἰκάζων αὐτοῦ τὴν χάριν τοῖς Ὀλύμπου καὶ Μαρσύου αὐλήμασιν.



ἢ ὁ λέγων, ἐάν τε γυνὴ ἀκούῃ ἐάν τε ἀνὴρ ἐάν τε μειράκιον,
ἐκπεπληγμένοι ἐσμὲν καὶ κατεχόμεθα. ἐγὼ γοῦν, ὦ ἄνδρες, εἰ
μὴ ἔμελλον κομιδῇ δόξειν μεθύειν, εἶπον ὀμόσας ἂν ὑμῖν, οἷα
δὴ πέπονθα αὐτὸς ὑπὸ τῶν τούτου λόγων καὶ πάσχω ἔτι καὶ
νυνί. ὅταν γὰρ ἀκούω, πολύ μοι μᾶλλον ἢ τῶν κορυβαντιών- E
των ἥ τε καρδία πηδᾷ καὶ δάκρυα ἐκχεῖται ὑπὸ τῶν λόγων
τῶν τούτου. ὁρῶ δὲ καὶ ἄλλους παμπόλλους τὰ αὐτὰ πάσχον-
τας. Περικλέους δὲ ἀκούων καὶ ἄλλων ἀγαθῶν ῥητόρων εὖ
μὲν ἡγούμην λέγειν, τοιοῦτον δ' οὐδὲν ἔπασχον, οὐδὲ τεθορύ-
βητό μου ἡ ψυχὴ οὐδ' ἠγανάκτει ὡς ἀνδραποδωδῶς διακειμέ-
νου· ἀλλ' ὑπὸ τουτουὶ τοῦ Μαρσύου πολλάκις δὴ οὕτω διετέ-
θην, ὥστε μοι δόξαι μὴ βιωτὸν εἶναι ἔχοντι ὡς ἔχω. καὶ 216
ταῦτα, ὦ Σώκρατες, οὐκ ἐρεῖς ὡς οὐκ ἀληθῆ. καὶ ἔτι γε νῦν
ξύνοιδ' ἐμαυτῷ, ὅτι εἰ ἐθέλοιμι παρέχειν τὰ ὦτα, οὐκ ἂν καρ-
τερήσαιμι, ἀλλὰ ταὐτὰ ἂν πάσχοιμι. ἀναγκάζει γάρ με ὁμολο-
γεῖν, ὅτι πολλοῦ ἐνδεὴς ὢν αὐτὸς ἔτι ἐμαυτοῦ μὲν ἀμελῶ, τὰ
δ' Ἀθηναίων πράττω. βύων οὖν ὥσπερ ἀπὸ τῶν Σειρήνων τὰ
ὦτα οἴχομαι φεύγων, ἵνα μὴ αὐτοῦ καθήμενος παρὰ τούτῳ κα-
ταγηράσω. πέπονθα δὲ πρὸς τοῦτον μόνον ἀνθρώπων, ὃ οὐκ B
ἄν τις οἴοιτο ἐν ἐμοὶ ἐνεῖναι, τὸ αἰσχύνεσθαι ὁντινοῦν· ἐγὼ δὲ

2 *ἔγωγ' οὖν* C | 4 *αὐτοῦ* C | 5 *νῦν* C | *κορυβαντιόντων* V | 6 *λόγων τούτου* BV | 9 *δὲ* V | *οὐδ' ἐτεθορύβητό* BV | 10 *ἠτενάκτει* V | 13 *ὦ* om. BV | 14 *ξύνοιδα* C | 16 *αὐτός τι* BV | 17 *βύων* Abreschius lectt. aristaen. p. 147 (cl. Hesychio *βύων τὰ ὦτα· ἐπιφράττων*): *βίᾳ* BVC | *Σειρήνων ἐπισχόμενος τὰ ὦτα* BVC | 19 *ἄνθρωπον ὃν* V | 20 *ὅντιν' οὖν* B *ὅντινα οὖν* C |

3 *schol.* κομιδῇ· κυρίως μὲν τὸ ἐπιμελῶς, ὅθεν καὶ ὀρεοκόμος καὶ γεροντοκόμος. ἰσοδυναμεῖ δὲ καὶ τῷ σφόδρα καὶ τελέως· κομιδῇ σμικρά, σφόδρα σμικρά. *Tim.* κομιδῇ· τελέως. εἴρηται δὲ ἀπὸ τῆς τῶν καρπῶν κομιδῆς, ἥτις γίνεται τελειωθέντων αὐτῶν. | 5 *schol.* κορυβαντιώντων· ἐνθουσιώντων, ἤ τινα ὄρχησιν ἐμμανῆ ὀρχουμένων. ἀπὸ τῶν Κορυβάντων, οἳ καὶ τροφεῖς καὶ φύλακες καὶ διδάσκαλοι τοῦ Διὸς εἶναι μυθολογοῦνται. τινὲς δὲ τοὺς αὐτοὺς τοῖς Κούρησιν εἶναι φασίν. εἶναι δὲ καὶ τῆς Ῥέας ὀπαδούς, ἀπὸ τῶν τοῦ Διὸς δακρύων γεγενημένους· ὧν ἀριθμὸν οἱ μὲν θ', οἱ δὲ ι' λέγουσιν ⟨cf. schol. Arist. Lys. 558. Suid.⟩. *Tim.* κορυβαντιᾶν· παρεμμαίνεσθαι καὶ ἐνθουσιαστικῶς κινεῖσθαι. | 6 *Plutarch. de adul. 29 p. 69 F* οὕτως Σωκράτης Ἀλκιβιάδην ἐκόλουε καὶ δάκρυον ἐξῆγεν ἀληθινὸν ἐξελεγχομένου καὶ τὴν καρδίαν ἀνέστρεφε. *de prof. in uirt. 14 p. 84 C* οὐ γὰρ ὑπὸ τῶν λόγων δεῖ τοῦ φιλοσοφοῦντος μόνον, ὥσπερ Ἀλκιβιάδης ἔλεγε, τὴν καρδίαν στρέφεσθαι καὶ δάκρυα ἐκπίπτειν.

τοῦτον μόνον αἰσχύνομαι. ξύνοιδα γὰρ ἐμαυτῷ ἀντιλέγειν μὲν
οὐ δυναμένῳ, ὡς οὐ δεῖ ποιεῖν ἃ οὗτος κελεύει, ἐπειδὰν δὲ
ἀπέλθω, ἡττημένῳ τῆς τιμῆς τῆς ὑπὸ τῶν πολλῶν. δραπε-
C τεύω οὖν αὐτὸν καὶ φεύγω, καὶ ὅταν ἴδω, αἰσχύνομαι τὰ ὡμο-
λογημένα. καὶ πολλάκις μὲν ἡδέως ἂν ἴδοιμι αὐτὸν μὴ ὄντα
ἐν ἀνθρώποις· εἰ δ' αὖ τοῦτο γένοιτο, εὖ οἶδα ὅτι πολὺ μεί-
ζον ἂν ἀχθοίμην, ὥστε οὐκ ἔχω ὅ τι χρήσωμαι τούτῳ τῷ ἀν-
θρώπῳ. καὶ ὑπὸ μὲν δὴ τῶν αὐλημάτων καὶ ἐγὼ καὶ ἄλλοι 33
πολλοὶ τοιαῦτα πεπόνθασιν ὑπὸ τοῦδε τοῦ σατύρου· ἄλλα δέ
μου ἀκούσατε ὡς ὅμοιός τέ ἐστιν οἷς ἐγὼ εἴκασα αὐτὸν καὶ
τὴν δύναμιν ὡς θαυμασίαν ἔχει. εὖ γὰρ ἴστε ὅτι οὐδεὶς ὑμῶν
D τοῦτον γιγνώσκει· ἀλλὰ ἐγὼ δηλώσω, ἐπείπερ ἠρξάμην. ὁρᾶτε
γὰρ ὅτι Σωκράτης ἐρωτικῶς διάκειται τῶν καλῶν καὶ ἀεὶ περὶ
τούτους ἐστὶ καὶ ἐκπέπληκται, [καὶ αὖ ἀγνοεῖ πάντα καὶ οὐδὲν
οἶδεν,] ὡς τὸ σχῆμα αὐτοῦ. τοῦτο οὐ σιληνῶδες; σφόδρα γε.
τοῦτο γὰρ οὗτος ἔξωθεν περιβέβληται, ὥσπερ ὁ γεγλυμμένος
σιληνός· ἔνδοθεν δὲ ἀνοιχθεὶς πόσης οἴεσθε γέμει, ὦ ἄνδρες
συμπόται, σωφροσύνης; ἴστε ὅτι οὔτ' εἴ τις καλός ἐστι μέλει
E αὐτῷ οὐδέν, ἀλλὰ καταφρονεῖ τοσοῦτον ὅσον οὐδ' ἂν εἷς οἰη-
θείη, οὔτ' εἴ τις πλούσιος, οὔτ' εἰ ἄλλην τινὰ τιμὴν ἔχων τῶν
ὑπὸ πλήθους μακαριζομένων· ἡγεῖται δὲ πάντα ταῦτα τὰ κτή-
ματα οὐδενὸς ἄξια καὶ ἡμᾶς οὐδὲν εἶναι † λέγω ὑμῖν. εἰρωνευό-
μενος δὲ καὶ παίζων πάντα τὸν βίον πρὸς τοὺς ἀνθρώπους
διατελεῖ. σπουδάσαντος δὲ αὐτοῦ καὶ ἀνοιχθέντος οὐκ οἶδα εἴ
τις ἑώρακε τὰ ἐντὸς ἀγάλματα· ἀλλ' ἐγὼ ἤδη ποτ' εἶδον, καί
217 μοι ἔδοξεν οὕτω θεῖα καὶ χρυσᾶ εἶναι καὶ πάγκαλα καὶ θαυ-

6 *πολὺ ἂν μεῖζον ἀχθοίμην* Sauppius | 7 *χρήσωμαι* Bekkerus: *χρήσομαι* BVC | 8 *καὶ* ante *ἄλλοι* om. V add. v | 9 *δ' ἐμοῦ* C | 10 *ἤκασα* Fischerus ad Weller. II p 279. Ruhnkenius ad Tim. p. 99 | 12 *τοῦτο* C | *ἀλλ'* C | 13 *αἰεὶ* V | 14 *αὖ* om. C | 15 *οἶδεν. ὥστε τὸ σχῆμα αὐτοῦ τοῦτο οὐ σιληνῶδες;* Vsenerus | *αὐτοῦ τοῦτο. οὐ* Bernhardyus griech. synt. p. 285 | 16 *ἐγγεγλυμμένος* C | 18 *οὔτε* BV | 21 *ταῦτα* om. C | 22 *καὶ τιμὰς οὐδὲν* Heusdius spec. crit. p. 17 | *λέγων ὦ 'φήμεροι* Winckelmannus ad Hipp. mai. p. VII *λέγων μὲν οὐ* Hermannus rhein. mus. n. s. IV p. 443 | 25 *ἑώρακεν* B | 26 *ἐμοὶ* B

22 *schol.* εἰρωνευόμενος· *ὑποκρινόμενος, χλευάζων.* | 26 *Proclus in Alcib. I p. 89 ἀποθαυμάζων αὐτοῦ ⟨Σωκράτους⟩ τὰ ἔνδον ἀγάλματα τῶν ἀρετῶν ὡς σεμνὰ καὶ τίμια. Olympiodor. in Alcib. I p. 217 ἰδὲ εἰς τὴν ἐμὴν ψυχὴν καὶ γνώσῃ δι' αὐτῆς καὶ τὴν σήν. ἀποβλέπων δὲ εἰς τὴν ἐμὴν εὑρήσεις ἐνόντα θεῖα ἀγάλματα, νοῦν γὰρ καὶ θεόν.*



μαστά, ὥστε ποιητέον εἶναι ἔμβραχυ ὅ τι ἂν κελεύοι Σωκρά-
της. ἡγούμενος δὲ αὐτὸν ἐσπουδακέναι ἐπὶ τῇ ἐμῇ ὥρᾳ ἕρ-
μαιον ἡγησάμην εἶναι καὶ εὐτύχημα ἐμὸν θαυμαστόν, ὡς ὑπάρ-
χον μοι χαρισαμένῳ Σωκράτει πάντ' ἀκοῦσαι ὅσαπερ οὗτος
ᾔδει· ἐφρόνουν γὰρ δὴ ἐπὶ τῇ ὥρᾳ θαυμάσιον ὅσον. ταῦτα
οὖν διανοηθείς, πρὸ τοῦ οὐκ εἰωθὼς ἄνευ ἀκολούθου μόνος
μετ' αὐτοῦ γίγνεσθαι, τότε ἀποπέμπων τὸν ἀκόλουθον μόνος
συνεγιγνόμην. δεῖ γὰρ πρὸς ὑμᾶς πάντα τἀληθῆ εἰπεῖν· ἀλλὰ B
προσέχετε τὸν νοῦν, καὶ εἰ ψεύδομαι, Σώκρατες, ἐξέλεγχε. συ-
νεγιγνόμην γάρ, ὦ ἄνδρες, μόνος μόνῳ, καὶ ᾤμην αὐτίκα δια-
λέξασθαι αὐτόν μοι ἅπερ ἂν ἐραστὴς παιδικοῖς ἐν ἐρημίᾳ δια-
λεχθείη, καὶ ἔχαιρον. τούτων δ' οὐ μάλα ἐγίγνετο οὐδέν, ἀλλ'
ὥσπερ εἰώθει διαλεχθεὶς δή μοι καὶ συνημερεύσας ᾤχετο ἀπιών.
μετὰ ταῦτα συγγυμνάζεσθαι προὐκαλούμην αὐτὸν [καὶ συνεγυ- C
μναζόμην], ὡς τι ἐνταῦθα περανῶν. συνεγυμνάζετο οὖν μοι καὶ
προσεπάλαιε πολλάκις οὐδενὸς παρόντος· καὶ τί δεῖ λέγειν;
οὐδὲν γάρ μοι πλέον ἦν. ἐπειδὴ δὲ οὐδαμῇ ταύτῃ ἤνυτον, ἔδοξέ
μοι ἐπιθετέον εἶναι τῷ ἀνδρὶ κατὰ τὸ καρτερὸν καὶ οὐκ ἀνε-
τέον, ἐπειδήπερ ἐγκεχειρήκη, ἀλλὰ ἰστέον ἤδη τί ἐστι τὸ πρᾶγμα.
προκαλοῦμαι δὴ αὐτὸν πρὸς τὸ συνδειπνεῖν, ἀτεχνῶς ὥσπερ
ἐραστὴς παιδικοῖς ἐπιβουλεύων. καί μοι οὐδὲ τοῦτο ταχὺ ὑπή- D
κουσεν, ὅμως δ' οὖν χρόνῳ ἐπείσθη. ἐπειδὴ δὲ ἀφίκετο τὸ
πρῶτον, δειπνήσας ἀπιέναι ἐβούλετο. καὶ τότε μὲν αἰσχυνό-
μενος ἀφῆκα αὐτόν· αὖθις δ' ἐπιβουλεύσας, ἐπειδὴ ἐδεδειπνή-
κει, διελεγόμην ἀεὶ πόρρω τῶν νυκτῶν, καὶ ἐπειδὴ ἐβούλετο
ἀπιέναι, σκηπτόμενος ὅτι ὀψὲ εἴη, προσηνάγκασα αὐτὸν μένειν.
ἀνεπαύετο οὖν ἐν τῇ ἐχομένῃ ἐμοῦ κλίνῃ, ἐν ᾗπερ ἐδείπνει,
καὶ οὐδεὶς ἐν τῷ οἰκήματι ἄλλος καθηῦδεν ἢ ἡμεῖς. μέχρι μὲν E
οὖν δὴ δεῦρο τοῦ λόγου καλῶς ἂν ἔχοι καὶ πρὸς ὁντινοῦν λέ-
γειν· τὸ δ' ἐντεῦθεν οὐκ ἄν μου ἠκούσατε λέγοντος, εἰ μὴ
πρῶτον μέν, τὸ λεγόμενον, οἶνος ἄνευ τε παίδων καὶ μετὰ παί-

1 *ἔμβραχυ* Cobetus uar. lectt. p. 209: *ἐν βράχει* BVC | *ἂν* add. Sauppius: om. BVC | 5 *ταῦτ'* C | 6 *μόνος* del. R. B. Hirschigius | 13 *δή* Sauppius: *ἄν* BVC | 16 *προσεπάλαιεν* V | 19 *ἐγκεχειρήκειν* C in rasura | *ἀλλ'* C | *ἀλλ' ἰτέον ἤδη ἐπὶ τὸ πρᾶγμα* Wyttenbachius bibl. crit. I, 1 p. 50. III, 12 p. 12 | 24 *αὐτὸν ἀφῆκα* C | *δὲ* C | 25 Bekkeri anecd. p. 346 *ἀεί· — ἐστὶ δὲ ὅπου καὶ ἀντὶ τοῦ ἕως καὶ μέχρι. Πλάτων ἐν συμποσίῳ 'ἐπειδὴ δεδειπνήκαμεν, διελεγόμην ἀεὶ πόρρω τῶν νυκτῶν'.* | *ἀεὶ* om. BVC | *ἠβούλετο* BV | 26 *αὐτοῦ* Sauppius | 28 *καθεῦδεν* C | 29 *ὁντιναοῦν* C

17 *schol.* ἤνυτον· *ἤνυον, ἐτέλουν.* | 31 *schol.* οἶνος καὶ

δων ἦν ἀληθής, ἔπειτα ἀφανίσαι Σωκράτους ἔργον ὑπερήφα-
νον εἰς ἔπαινον ἐλθόντα ἄδικόν μοι φαίνεται. ἔτι δὲ τὸ τοῦ
δηχθέντος ὑπὸ τοῦ ἔχεως πάθος κἀμὲ ἔχει. φασὶ γάρ πού
τινα τοῦτο παθόντα οὐκ ἐθέλειν λέγειν οἷον ἦν πλὴν τοῖς δε-
218 δηγμένοις, ὡς μόνοις γνωσομένοις τε καὶ συγγνωσομένοις, εἰ b
πᾶν ἐτόλμα δρᾶν τε καὶ λέγειν ὑπὸ τῆς ὀδύνης. ἐγὼ οὖν δε-
δηγμένος τε ὑπὸ ἀλγεινοτέρου καὶ τὸ ἀλγεινότατον ὧν ἄν τις
δηχθείη — τὴν καρδίαν ἢ ψυχὴν γὰρ ἢ ὅ τι δεῖ αὐτὸ ὀνομά-
σαι πληγείς τε καὶ δηχθεὶς ὑπὸ τῶν ἐν φιλοσοφίᾳ λόγων, οἳ
ἔχονται ἐχίδνης ἀγριώτερον, νέου ψυχῆς μὴ ἀφυοῦς ὅταν λά-

1 ἐπεῖτ' C | 3 κἀμ' BV | 6 ἔγωγ' οὖν C | 7 ὑπ' C | ὑπὸ ἀλγεινοτάτου Stephanus | 8 δείχθη BV | γὰρ ἢ ψυχὴν C | 10 καὶ μὴ C

ἀλήθεια, ἐπὶ τῶν ἐν μέθῃ τὴν ἀλήθειαν λεγόντων. ἔστι δὲ ᾄσματος Ἀλκαίου ἀρχή ⟨fr. 57. *Tzetz. ad Lyc. 219* οἱ οἰνωθέντες τὰ τοῦ λογισμοῦ ἀπόρρητα ἐκφαίνουσιν, ὅθεν καὶ Ἀλκαῖός φησιν 'οἶνος γὰρ ἀνθρώποις δίοπτρον'. adhibet Matthiaeus verm. schr. p. 95 et οἶνος — ἀλήθεια post Θεόκριτος reponit.⟩ 'οἶνος, ὦ φίλε παῖ, καὶ ἀλήθεια' ⟨ἀλάθεα Matthiaeus ad Alcaei reliquias p. 40.⟩. καὶ Θεόκριτος ⟨*29, 1*⟩· τινὲς δέ φασιν ὅτι πρὶν οἶνον εὑρεθῆναι ὕδωρ κατὰ τῶν ἱερῶν ἔσπενδον, καθάπερ νῦν τὰ νηφάλια, οἴνου δὲ φανέντος οὕτω θαυμάσαι τοὺς ἀνθρώπους καὶ θείαν ἡγήσασθαι τὴν φύσιν, ὡς καὶ τὰς συνθήκας παρὰ τὸν οἶνον γενομένας νομίσαι δεῖν εἶναι κυρίας καὶ μὴ τολμᾶν παραβαίνειν, ἀλλὰ κατὰ πάντας τρόπους ἀφαιρεῖν τὸ ψεῦδος ἀπὸ τῶν παρὰ τὸν οἶνον συνθηκῶν. ὁμοία δὲ ταύτης καὶ αὕτη 'τὸ γὰρ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος ἐπὶ τῇ γλώσσῃ τοῦ μεθύοντος' ⟨*Diogenian. VIII, 43*⟩. *Phot.* οἶνος ἄνευ παιδευτῶν· δύο παροιμίαι, ἡ μὲν 'οἶνος καὶ ἀλήθεια', ἡ δέ 'οἶνος καὶ παῖδες ἀληθεῖς', λαμβάνεται δὲ καὶ ἐπὶ τῶν ἁπλοιζομένων καὶ τὴν ἀλήθειαν λεγόντων. *Athen. II p. 37 F* Φιλόχορος δέ φησιν ὅτι οἱ πίνοντες οὐ μόνον ἑαυτοὺς ἐμφανίζουσιν οἵτινές εἰσιν, ἀλλὰ καὶ τῶν ἄλλων ἕκαστον ἀνακαλύπτουσι παρρησίαν ἄγοντες. ὅθεν 'οἶνος καὶ ἀλήθεια' λέγεται καὶ 'ἀνδρὸς δ' οἶνος ἔδειξε νόον' ⟨*Theogn. 499*⟩. *Diogenian. VII, 20* οἶνος καὶ ἀλήθεια· Εὔανδρος παρὰ τοῖς Πέρσαις φησὶν οὐ βασάνοις ἐξετάζεσθαι, ἀλλὰ μεθυσκομένους. | 2 *Aristides or. 15 t. I p. 234* ὥσπερ τὸν ὑπὸ τῆς ἐχίδνης φασὶ πληγέντα μὴ ἐθέλειν ἑτέρῳ λέγειν ἀλλ' ἢ ὅστις πεπείραται. *or. 49 t. II p. 395* καί μοι δοκεῖς κατὰ τὴν παροιμίαν τὸν ὑπὸ τῆς ἐχίδνης δηχθέντα αἰτιᾶσθαι, μηδεπώποτ' αὐτὸς δηχθείς. | 8 *schol. B* τὸ τὴν καρδίαν ψυχὴν καλεῖ. | 10 *Proclus in Alcib. I p. 89* ὅτι μὲν τοίνυν ὁ νεανίσκος καλλίων ἀποτετελέσθαι δηλοῖ καὶ τὸ πλατωνικὸν συμπόσιον, ὅπου δὴ καὶ ταῦτα μεθύων ὁ Ἀλκιβιάδης ὑπόκειται θαυμάζων περὶ τοὺς ἐν φιλοσοφίᾳ λόγους ὡς δραστηρίους καὶ ἀγριώτερον



βωνται, καὶ ποιοῦσι δρᾶν τε καὶ λέγειν ὁτιοῦν — καὶ ὁρῶν αὖ
Φαίδρους Ἀγάθωνας Ἐρυξιμάχους Παυσανίας Ἀριστοδήμους τε B
καὶ Ἀριστοφάνας· Σωκράτη δὲ αὐτὸν τί δεῖ λέγειν καὶ ὅσοι
ἄλλοι; πάντες γὰρ κεκοινωνήκατε τῆς φιλοσόφου μανίας τε καὶ
βακχείας. διὸ πάντες ἀκούσεσθε· συγγνώσεσθε γὰρ τοῖς τε τότε
πραχθεῖσι καὶ τοῖς νῦν λεγομένοις· οἱ δὲ οἰκέται καὶ εἴ τις
ἄλλος ἐστὶ βέβηλός τε καὶ ἄγροικος, πύλας παμμεγάλας τοῖς
34 ὠσὶν ἐπίθεσθε. ἐπειδὴ γὰρ οὖν, ὦ ἄνδρες, ὅ τε λύχνος ἀπε-
σβήκει καὶ οἱ παῖδες ἔξω ἦσαν, ἔδοξέ μοι χρῆναι μηδὲν ποι- C
κίλλειν πρὸς αὐτόν, ἀλλ' ἐλευθέρως εἰπεῖν ἅ μοι ἐδόκει· καὶ
εἶπον κινήσας αὐτόν Σώκρατες, καθεύδεις; Οὐ δῆτα, ἦ δ' ὅς.
Οἶσθα οὖν ἅ μοι δέδοκται; Τί μάλιστα; ἔφη. Σὺ ἐμοὶ δοκεῖς,
ἦν δ' ἐγώ, ἐμοῦ ἐραστὴς ἄξιος γεγονέναι μόνος καί μοι φαίνει
ὀκνεῖν μνησθῆναι πρός με· ἐγὼ δὲ οὑτωσὶ ἔχω· πάνυ ἀνόητον
ἡγοῦμαι εἶναι σοὶ μὴ οὐ καὶ τοῦτο χαρίζεσθαι καὶ εἴ τι ἄλλο
ἢ τῆς οὐσίας τῆς ἐμῆς δέοιο ἢ τῶν φίλων τῶν ἐμῶν. ἐμοὶ D
μὲν γὰρ οὐδέν ἐστι πρεσβύτερον τοῦ ὡς ὅ τι βέλτιστον ἐμὲ γε-
νέσθαι, τούτου δὲ οἶμαί μοι συλλήπτορα οὐδένα κυριώτερον
εἶναι σοῦ. ἐγὼ δὴ τοιούτῳ ἀνδρὶ πολὺ μᾶλλον ἂν μὴ χαριζό-

1 ὁρᾶν V | 2 καὶ Ἀγάθωνας C | 3 δεῖν C | δεῖ καὶ λέγειν ς | 6 εἴ τι BV | 7 παμμεγάλας Naberus ad Phot. I p. 116: πάνυ μεγάλας BVC | 14 ἐγὼ δ' C | ἔχων C | 15 σοὶ εἶναι C | 17 ὅσῳ τι BV | 18 δ' οἶμαί C | μου BV

ἐχίδνης τῶν εὐφυΐᾳ διαφερουσῶν ἀντιλαμβανομένους, ἐξομνύμενος δὲ καὶ καταψηφίζεσθαι ἑαυτοῦ καὶ τῆς ἑαυτοῦ ἀμαθίας, ὅταν ἀκούῃ διαλεγομένου τοῦ Σωκράτους καὶ ἀποθαυμάζων μὲν αὐτοῦ τὰ ἔνδον ἀγάλματα τῶν ἀρετῶν ὡς σεμνὰ καὶ τίμια. | 4 *schol. B* τὸ καὶ ἐπὶ τοῦ ἔρωτος τοῦ πρὸς φιλοσοφίαν μανίαν ὀνομάζει. | 7 *schol. B* ἐντεῦθεν παρῴδησε Καλλίμαχος ἐν ὕμνῳ Δήμητρος καλάθου τὸ 'θύρας δ' ἐπίθεσθε βέβηλοι' ⟨*3* 'χαμαὶ θάσασθε βέβαλοι'⟩. *schol. Aristid. t. III p. 471 D* ἐκ τοῦ εἰπεῖν βεβήλων καὶ πύλας ἐπιθέσθαι τοῖς ὠσὶ παρεικάζει τοὺς λόγους μυστηρίοις. ἔστι δὲ κήρυγμα μυστικὸν τὸ 'θύρας δ' ἐπίθεσθε βέβηλοι', ὥς που καὶ Ὀρφεὺς δηλοῖ 'φθέγξομαι οἷς θέμις ἐστί· θύρας δ' ἐπίθεσθε βέβηλοι'. *Tim.* βέβηλοι· ἀμύητοι. | 17 *Poll. II, 12* καὶ πρεσβεύειν τὸ τιμᾶν παρὰ Πλάτωνι καὶ τὸ 'οὐδέν ἐστι πρεσβύτερον' ἀντὶ τοῦ 'οὐδὲν τιμιώτερον'. | 19 *Themist. or. 29 p. 348* ἐπεὶ καὶ τὸν Κλεινίου Ἀλκιβιάδην οὐ κωμῳδεῖ Πλάτων ἐν τῷ συνδείπνῳ ἐξομολογούμενον πρὸς τοὺς συμπότας ὅτι ἕτοιμος ἦν πάντα χαρίζεσθαι τῷ διδασκάλῳ, ἀλλ' ἐκεῖνος ὁ λόγος ὑπερήφανος ὕμνος ἐστὶ Σωκράτους καὶ Ἀλκιβιάδου· τοῦ μὲν ὅτι μόνου ἑάλω, τοῦ δὲ ὅτι μόνος οὐχ ἑάλω Ἀλκιβιάδου. εἰ δὲ ὁ μὲν πρὸς ἅπαντα εἶκεν, ὁ δὲ πρὸς μηδὲν ἐποίει

μενος αἰσχυνοίμην τοὺς φρονίμους, ἢ χαριζόμενος τούς τε πολ-
λοὺς καὶ ἄφρονας. καὶ οὗτος ἀκούσας μάλα εἰρωνικῶς καὶ σφό-
δρα ἑαυτοῦ τε καὶ εἰωθότως ἔλεξεν Ὦ φίλε Ἀλκιβιάδη, κινδυ-
νεύεις τῷ ὄντι οὐ φαῦλος εἶναι, εἴπερ ἀληθῆ τυγχάνει ὄντα
E ἃ λέγεις περὶ ἐμοῦ καί τις ἔστ' ἐν ἐμοὶ δύναμις, δι' ἧς ἂν σὺ
γένοιο ἀμείνων· ἀμήχανόν τοι κάλλος ὁρῴης ἂν ἐν ἐμοὶ καὶ τῆς
παρὰ σοὶ εὐμορφίας πάμπολυ διαφέρον. εἰ δὴ καθορῶν αὐτὸ
κοινώσασθαί τέ μοι ἐπιχειρεῖς καὶ ἀλλάξασθαι κάλλος ἀντὶ
κάλλους, οὐκ ὀλίγῳ μου πλεονεκτεῖν διανοεῖ, ἀλλ' ἀντὶ δόξης
219 ἀλήθειαν καλῶν κτᾶσθαι ἐπιχειρεῖς καὶ τῷ ὄντι χρύσεα χαλ-
κείων διαμείβεσθαι νοεῖς. ἀλλ', ὦ μακάριε, ἄμεινον σκόπει,
μή σε λανθάνω οὐδὲν ὤν. ἥ τοι τῆς διανοίας ὄψις ἄρχεται
ὀξὺ βλέπειν, ὅταν ἡ τῶν ὀμμάτων τῆς ἀκμῆς λήγειν ἐπιχειρῇ·
σὺ δὲ τούτων ἔτι πόρρω. κἀγὼ ἀκούσας Τὰ μὲν παρ' ἐμοῦ,
ἔφην, ταῦτά ἐστιν, ὧν οὐδὲν ἄλλως εἴρηται ἢ ὡς διανοοῦμαι·
σὺ δὲ αὐτὸς οὕτω βουλεύου, ὅ τι σοί τε ἄριστον καὶ ἐμοὶ ἡγεῖ.
Ἀλλ', ἔφη, τοῦτό γ' εὖ λέγεις· ἐν γὰρ τῷ ἐπιόντι χρόνῳ βου-

3 ἑαυτῷ εἰωθότως ς παρ' ἑαυτοῦ τε καὶ εἰωθότως Stallbaumius | ἔλεξε B | 6 ἀμήχανόν τι VC | 8 καὶ ἀλλάξασθαι — 10 ἐπιχειρεῖς om. V | 12 .τοι — ἐπιχειρεῖ l. Ioa. Stob. ecl. phys. I, 48, 2 | ἤτοι BV | ὄψις ἄρχεται om. Ioa. Stob. | ὄψις om. C | 14 ἐμοὶ BC | 15 ταῦτ' C | ὡς οὐ διανοοῦμαι V | 16 σὺ δ' C | 17 γε VC

ἀμείνω, Ἀλκιβιάδου μὲν ἔπαινος ἦν, Σωκράτους δὲ κατηγορία. *Quintil. VIII, 4, 23* nec mihi uidetur in s y m p o s i o P l a t o, cum Alcibiadem confitentem de se quid a Socrate pati uoluerit narrat, ut illum culparet haec tradidisse, sed ut Socratis inuictam continentiam ostenderet, quae corrumpi speciosissimi hominis tam obuia uoluntate non posset. *Porphyr. uita Plotin. 15* ὅτε δὲ ὁ ῥήτωρ Δ ι ο φ ά ν η ς ἀνέγνω ὑπὲρ Ἀ λ κ ι β ι ά δ ο υ τοῦ ἐν τῷ σ υ μ π ο σ ί ῳ τοῦ Π λ ά τ ω ν ο ς ἀπολογίαν δογματίζων χρῆναι ἀρετῆς ἕνεκα μαθήσεως εἰς συνουσίαν αὑτὸν παρέχειν ἐρῶντι ἀφροδισίου μίξεως τῷ καθηγεμόνι, ἧξε μὲν πολλάκις ἀναστὰς ἀπαλλαγῆναι τῆς συνόδου ⟨Πλωτῖνος⟩, ἐπισχὼν δ' ἑαυτὸν μετὰ τὴν διάλυσιν τοῦ ἀκουστηρίου ἐμοὶ Πορφυρίῳ ἀντιγράψαι προσέταξε. μὴ θέλοντος δὲ τοῦ Διοφάνους τὸ βιβλίον δοῦναι διὰ τῆς μνήμης ἀναληφθέντων τῶν ἐπιχειρημάτων ἀντιγράψας ἐγὼ καὶ ἐπὶ τῶν αὐτῶν ἀκροατῶν συνηγμένων ἀναγνοὺς τοσοῦτον τὸν Πλωτῖνον ηὔφρανε, ὡς κἂν ταῖς συνουσίαις συνεχῶς ἐπιλέγειν 'βάλλ' οὕτως, αἴ κέν τις φόως ἄνδρεσσι γένηαι' ⟨Hom. Il. Θ, 282⟩ | 10 *Hom. Il. Z, 236*

ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς,
ὃς πρὸς Τυδείδην Διομήδεα τεύχε' ἄμειβε
χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων.



λευόμενοι πράξομεν ὃ ἂν φαίνηται νῷν περί τε τούτων καὶ B
περὶ τῶν ἄλλων ἄριστον. ἐγὼ μὲν δὴ ταῦτα ἀκούσας τε καὶ
εἰπών, καὶ ἀφεὶς ὥσπερ βέλη, τετρῶσθαι αὐτὸν ᾤμην· καὶ
ἀναστάς γε, οὐδ' ἐπιτρέψας τούτῳ εἰπεῖν οὐδὲν ἔτι, ἀμφιέσας
τὸ ἱμάτιον τὸ ἐμαυτοῦ τοῦτον — καὶ γὰρ ἦν χειμών —, ὑπὸ
τὸν τρίβωνα κατακλινεὶς τὸν τούτου, περιβαλὼν τὼ χεῖρε τούτῳ
τῷ δαιμονίῳ ὡς ἀληθῶς καὶ θαυμαστῷ, κατεκείμην τὴν νύκτα C
ὅλην. καὶ οὐδὲ ταῦτα αὖ, ὦ Σώκρατες, ἐρεῖς ὅτι ψεύδομαι.
ποιήσαντος δὲ δὴ ταῦτα ἐμοῦ οὗτος τοσοῦτον περιεγένετό τε
καὶ κατεφρόνησε καὶ κατεγέλασε τῆς ἐμῆς ὥρας καὶ ὕβρισε,
καίπερ ἐκεῖνό γε ᾤμην τὶ εἶναι, ὦ ἄνδρες δικασταί — δικασταὶ
γάρ ἐστε τῆς Σωκράτους ὑπερηφανίας. εὖ γὰρ ἴστε μὰ θεούς,
οὐδὲν περιττότερον καταδεδαρθηκὼς ἀνέστην μετὰ Σωκράτους, D
35 ἢ εἰ μετὰ πατρὸς καθηῦδον ἢ ἀδελφοῦ πρεσβυτέρου. τὸ δὴ
μετὰ τοῦτο τίνα οἴεσθέ με διάνοιαν ἔχειν, ἡγούμενον μὲν ἠτι-
μάσθαι, ἀγάμενον δὲ τὴν τούτου φύσιν τε καὶ σωφροσύνην καὶ
ἀνδρείαν, ἐντετυχηκότα ἀνθρώπῳ τοιούτῳ, οἵῳ ἐγὼ οὐκ ἂν
ᾤμην ποτὲ ἐντυχεῖν εἰς φρόνησιν καὶ εἰς καρτερίαν; ὥστε οὔθ'
ὅπως οὖν ὀργιζοίμην εἶχον καὶ ἀποστερηθείην τῆς τούτου συ-
νουσίας, οὔτε ὅπῃ προσαγαγοίμην αὐτὸν εὐπόρουν. εὖ γὰρ E
ᾔδη, ὅτι χρήμασί γε πολὺ μᾶλλον ἄτρωτος ἦν πανταχῇ ἢ σι-
δήρῳ ὁ Αἴας, ᾧ τε ᾤμην αὐτὸν μόνῳ ἁλώσεσθαι, διεπεφεύγει
με. ἠπόρουν δὴ καταδεδουλωμένος τε ὑπὸ τοῦ ἀνθρώπου ὡς
οὐδεὶς ὑπ' οὐδενὸς ἄλλου περιῇα. ταῦτά τε γάρ μοι ἅπαντα

2 ταῦτ' C | 4 οὐδὲ B | τούτῳ C Thierschius spec. p. 38: τοῦτο BV | 9 ταῦτ' C | 11 κεῖνο BV | 13 ἀνέστη V | 14 εἰ om. C | καθεύδων c | 20 οὔθ' C | 21 ᾔδειν c in rasura | γε ς: τε BVC | 22 αὐτὸν εἶναι ἁλώσεσθαι C | διεπέφευγε B διαπέφευγε V | 24 ἀλλ' οὐ V

6 *schol.* τ ρ ί β ω ν ἐστὶ στολή τις ἔχουσα σημεῖα ὡς γραμμάτια. ⟨*Phot. Suid.* τ ρ ι β ω ν ο φ ό ρ ο ς· ὁ φορῶν στολὴν ἔχουσαν σημεῖα ὡς γραμμάτια.⟩ τ ρ ι β ώ ν ι ο ν δὲ ἱμάτιον παλαιὸν καὶ τετριμμένον. | 13 *schol.* κ α τ α δ ε δ α ρ θ η κ ώ ς· καθυπνωκώς. | 14 *Corn. Nep. Alcib. 2, 2* ineunte adulescentia amatus est a multis amore Graecorum, in eis a Socrate, de quo mentionem facit P l a t o in s y m p o s i o. namque eum induxit commemorantem se pernoctasse cum Socrate neque aliter ab eo surrexisse ac filius a parente debuerit. *Petron. 128* non tam intactus Alcibiades in praeceptoris sui lecto iacuit. *Lucian. uitt. auct. 15* Σ ω. καὶ γὰρ οὐ τῶν σωμάτων ἐραστής εἰμι, τὴν ψυχὴν δὲ ἡγοῦμαι καλήν. ἀμέλει κἂν ὑπὸ ταὐτὸν ἱμάτιόν μοι κατακέωνται, ἀκούσει αὐτῶν μηδὲν ὑπ' ἐμοῦ δεινὸν παθεῖν.

προὐγεγόνει, καὶ μετὰ ταῦτα στρατεία ἡμῖν εἰς Ποτίδαιαν ἐγέ-
νετο κοινὴ καὶ συνεσιτοῦμεν ἐκεῖ. πρῶτον μὲν οὖν ἐν τοῖς
πόνοις οὐ μόνον ἐμοῦ περιῆν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων.
220 ὁπότε δ' ἀναγκασθείημεν ἀποληφθέντες που, οἷα δὴ ἐπὶ στρα-
τείας, ἀσιτεῖν, οὐδὲν ἦσαν οἱ ἄλλοι πρὸς τὸ καρτερεῖν· ἔν τ'
αὖ ταῖς εὐωχίαις μόνος ἀπολαύειν οἷός τ' ἦν τά τ' ἄλλα καὶ
πίνειν, οὐκ ἐθέλων, ὁπότε ἀναγκασθείη, πάντας ἐκράτει, καὶ ὃ
πάντων θαυμαστότατον, Σωκράτη μεθύοντα οὐδεὶς πώποτε
ἑώρακεν ἀνθρώπων. τούτου μὲν οὖν μοι δοκεῖ καὶ αὐτίκα ὁ
ἔλεγχος ἔσεσθαι· πρὸς δὲ αὖ τὰς τοῦ χειμῶνος καρτερήσεις —
δεινοὶ γὰρ αὐτόθι χειμῶνες — θαυμάσια εἰργάζετο τά τε ἄλλα,
B καί ποτε ὄντος πάγου οἵου δεινοτάτου καὶ πάντων ἢ οὐκ ἐξιόν-
των ἔνδοθεν, ἢ εἴ τις ἐξίοι, ἠμφιεσμένων τε θαυμαστὰ δὴ ὅσα
καὶ ὑποδεδεμένων καὶ ἐνειλιγμένων τοὺς πόδας εἰς πίλους καὶ
ἀρνακίδας, οὗτος δ' ἐν τούτοις ἐξῄει ἔχων ἱμάτιον μὲν τοιοῦ-
τον οἷόνπερ καὶ πρότερον εἰώθει φορεῖν, ἀνυπόδητος δὲ διὰ
τοῦ κρυστάλλου ῥᾷον ἐπορεύετο ἢ οἱ ἄλλοι ὑποδεδεμένοι. οἱ
δὲ στρατιῶται ὑπέβλεπον αὐτὸν ὡς καταφρονοῦντα σφῶν. καὶ 36
C ταῦτα μὲν δὴ ταῦτα. 'οἷον δ' αὖ τόδ' ἔρεξε καὶ ἔτλη καρτε-
ρὸς ἀνὴρ' ἐκεῖ ποτε ἐπὶ στρατείας, ἄξιον ἀκοῦσαι. ξυννοήσας
γὰρ αὐτόθι ἕωθέν τι εἱστήκει σκοπῶν, καὶ ἐπειδὴ οὐ προὐχώ-
ρει αὐτῷ, οὐκ ἀνίει ἀλλὰ εἱστήκει ζητῶν. καὶ ἤδη ἦν μεσημ-
βρία, καὶ ἄνθρωποι ᾐσθάνοντο καὶ θαυμάζοντες ἄλλος ἄλλῳ
ἔλεγον, ὅτι Σωκράτης ἐξ ἑωθινοῦ φροντίζων τι ἕστηκε. τελευ-

2 ἐν add. Winckelmannus ad Euthyd. p. 13 | 4 ὁπότε δ' Sauppius: ὁπόταν BVC ὁπότε γοῦν ς ὁπότε Hermannus | ἀποληφθέντες c Astius: ἀπολειφθέντες BV ἀπολειφθέντες σίτου Heusdius spec. crit. p. 17 | 5 πρὸς αὐτὸν εἰς τὸ Sauppius | 7 καὶ ὁπόταν θαυμαστότατον BV | 9 ἑωράκει BV | 11 τ' ἄλλα C | 12 ἢ om. C | 13 ἢ ὅσα V | 16 οἷον καὶ C | 19 αὖ τόδ' Cornarius: αὐτὸ BVC αὖ τὸ c | ἔρρεξε BV | 22 ἀλλ' C | 23 ἄνθρωποι Mehlerus ad Xenoph. conu. p. 75. Cobetus uar. lectt. p. 114 (mnem. III p. 290), nou. lectt. p. 326 (mnem. VI p. 166): ἄνθρωποι BVC | 24 ἔλεγον Mehlerus Cobetus: ἔλεγεν BVC

14 *schol.* πῖλος· ἱμάτιον ἐξ ἐρίου πιλήσεως γενόμενον, εἰς ὑετῶν καὶ χειμώνων ἄμυναν. ἀρνακίδες δὲ ἀρνῶν κώδια. *Poll. X, 50* τοὺς δὲ περὶ τοῖς ποσὶ πίλους οὐ Πλάτων μόνον ἐν συμποσίῳ φήσας 'ἐνειλιγμένων — ἀρνακίδας', ἀλλὰ καὶ Κρατῖνος. *VII, 122* ὁ δὲ Πλάτων ἐν συμποσίῳ καὶ ἀρνακίδας τοῖς πίλοις προστίθησιν 'ἐνειλιγμένων — ἀρνακίδας'. *Themist. or. 4 p. 50 B* κρυστάλλοις προταρασσόμενον καὶ πνεύμασι καὶ νιφετοῖς καὶ ἐνειλημένον χεῖρας τε καὶ πόδας πίλοις τε καὶ ἀρνακίσιν. | 19 *Hom. Od. δ, 242.*



τῶντες δέ τινες τῶν νέων, ἐπειδὴ ἑσπέρα ἦν, δειπνήσαντες — D
καὶ γὰρ θέρος τότε γε ἦν — χαμεύνια ἐξενεγκάμενοι ἅμα μὲν
ἐν τῷ ψύχει καθηῦδον, ἅμα δ' ἐφύλαττον αὐτὸν εἰ καὶ τὴν
νύκτα ἑστήξοι. ὁ δὲ εἱστήκει μέχρι ἕως ἐγένετο καὶ ἥλιος ἀνέ-
σχεν· ἔπειτα ᾤχετ' ἀπιὼν προσευξάμενος τῷ ἡλίῳ. εἰ δὲ βού-
λεσθε ἐν ταῖς μάχαις· τοῦτο γὰρ δὴ δίκαιόν γε αὐτῷ ἀποδοῦ-
ναι· ὅτε γὰρ ἡ μάχη ἦν, ἐξ ἧς ἐμοὶ καὶ τἀριστεῖα ἔδοσαν οἱ
στρατηγοί, οὐδεὶς ἄλλος ἐμὲ ἔσωσεν ἀνθρώπων ἢ οὗτος, τετρω- E
μένον οὐκ ἐθέλων ἀπολιπεῖν, ἀλλὰ συνδιέσωσε καὶ τὰ ὅπλα
καὶ αὐτὸν ἐμέ. καὶ ἐγὼ μέν, ὦ Σώκρατες, καὶ τότε ἐκέλευον
σοὶ διδόναι τἀριστεῖα τοὺς στρατηγούς — καὶ τοῦτό γέ μοι οὔτε
μέμψει οὔτε ἐρεῖς ὅτι ψεύδομαι — ἀλλὰ γὰρ τῶν στρατηγῶν
πρὸς τὸ ἐμὸν ἀξίωμα ἀποβλεπόντων καὶ βουλομένων ἐμοὶ δι-
δόναι τἀριστεῖα, αὐτὸς προθυμότερος ἐγένου τῶν στρατηγῶν
ἐμὲ λαβεῖν ἢ σαυτόν. ἔτι τοίνυν, ὦ ἄνδρες, ἄξιον ἦν θεάσα-
σθαι Σωκράτη, ὅτε ἀπὸ Δηλίου φυγῇ ἀνεχώρει τὸ στρατόπε- 221
δον· ἔτυχον γὰρ παραγενόμενος ἵππον ἔχων, οὗτος δὲ ὅπλα.
ἀνεχώρει οὖν ἐσκεδασμένων ἤδη τῶν ἀνθρώπων οὗτός τε ἅμα
καὶ Λάχης· καὶ ἐγὼ περιτυγχάνω, καὶ ἰδὼν εὐθὺς παρακελεύο-
μαί τε αὐτοῖν θαρρεῖν καὶ ἔλεγον ὅτι οὐκ ἀπολείψω αὐτώ.
ἐνταῦθα δὴ καὶ κάλλιον ἐθεασάμην Σωκράτη ἢ ἐν Ποτιδαίᾳ·
αὐτὸς γὰρ ἧττον ἐν φόβῳ ἦ διὰ τὸ ἐφ' ἵππου εἶναι· πρῶτον
μὲν ὅσον περιῆν Λάχητος τῷ ἔμφρων εἶναι· ἔπειτα ἔμοιγ' B
ἐδόκει, ὦ Ἀριστόφανες, τὸ σὸν δὴ τοῦτο καὶ ἐκεῖ διαπορεύε-
σθαι [ὥσπερ καὶ ἐνθάδε] 'βρενθυόμενος καὶ τὠφθαλμὼ παρα-
βάλλων', ἠρέμα περισκοπῶν καὶ τοὺς φιλίους καὶ τοὺς πολε-
μίους, δῆλος ὢν παντὶ καὶ πάνυ πόρρωθεν, ὅτι εἴ τις ἅψεται
τούτου τοῦ ἀνδρός, μάλα ἐρρωμένως ἀμυνεῖται. διὸ καὶ ἀσφα-

1 νέων Mehlerus: Ἰώνων BVC | 2 τότε γ' C | 3 δὲ C | 5 προσευξόμενος B (in rasura) V | 8 οὐκ ἐθέλων τετρωμένον C | 12 οὔτ' C | 13 ἀποβλεπόντων ἀξίωμα C | 17 ἔχων ἵππον C | δ' ὅπλα C | 20 αὐτοῖς C | 21 δὲ C | 22 ἦν bc | 23 ἔπειτ' C | 25 τωφθαλμῷ B τὼ ὀφθαλμὼ C | 26 περισκοπῶν Bekkerus: παρασκοπῶν BVC | 27 δῆλος — ἀμυνεῖται l. Aristides or. 45 t. II p. 71 | 28 μάλ' C | ἀμύνηται BV | διὸ καὶ — διώκουσι l. Aristid. or. 45 t. II p. 72

2 *schol.* χαμεύνια· ταπεινὰ κλινίδια. *Tim.* χαμεύνια· τὰ ἐπὶ γῆς στρωννύμενα. | 16 *schol.* Δήλιον· χωρίον τῆς Βοιωτίας. | 24 *Aristoph. nubb. 361* ὅτι βρενθύει τ' ἐν ταῖσιν ὁδοῖς καὶ τὠφθαλμὼ παραβάλλει. | 25 *Tim.* βρενθυόμενος· γαυρούμενος καὶ ὀγκυλόμενος μετὰ βάρους. | 27 *Aristid. or. 46 t. II p. 198* ἐμοὶ μὲν οὖν οὐδὲν φαυλότερος οὐδ' ἀτιμότερος

λῶς ἀπῄει καὶ οὗτος καὶ ὁ ἑταῖρος· σχεδὸν γάρ τι τῶν οὕτω C διακειμένων ἐν τῷ πολέμῳ οὐδὲ ἅπτονται, ἀλλὰ τοὺς προτροπάδην φεύγοντας διώκουσι. πολλὰ μὲν οὖν ἄν τις καὶ ἄλλα ἔχοι Σωκράτη ἐπαινέσαι καὶ θαυμάσια· ἀλλὰ τῶν μὲν ἄλλων ἐπιτηδευμάτων τάχ' ἂν τις καὶ περὶ ἄλλου τοιαῦτα εἴποι, τὸ δὲ μηδενὶ ἀνθρώπων ὅμοιον εἶναι, μήτε τῶν παλαιῶν μήτε τῶν νῦν ὄντων, τοῦτο ἄξιον παντὸς θαύματος. οἷος γὰρ Ἀχιλλεὺς ἐγένετο, ἀπεικάσειεν ἄν τις καὶ Βρασίδαν καὶ ἄλλους, καὶ D οἷος αὖ Περικλῆς, καὶ Νέστορα καὶ Ἀντήνορα[, εἰσὶ δὲ καὶ ἕτεροι]· καὶ τοὺς ἄλλους κατὰ ταὔτ' ἄν τις ἀπεικάζοι· οἷος δὲ οὑτοσὶ γέγονε τὴν ἀτοπίαν ἅνθρωπος, καὶ αὐτὸς καὶ οἱ λόγοι αὐτοῦ, οὐδ' ἐγγὺς ἂν εὕροι τις ζητῶν, [οὔτε τῶν νῦν οὔτε τῶν παλαιῶν,] εἰ μὴ ἄρα εἰ οἷς ἐγὼ λέγω ἀπεικάζοι τις αὐτόν, ἀνθρώπων μὲν μηδενί, τοῖς δὲ σιληνοῖς καὶ σατύροις, αὐτὸν καὶ τοὺς λόγους. καὶ γὰρ οὖν καὶ τοῦτο ἐν τοῖς πρώτοις παρέλιπον, ὅτι καὶ οἱ λόγοι αὐτοῦ ὁμοιότατοί εἰσι τοῖς σιληνοῖς τοῖς 37 E διοιγομένοις. εἰ γὰρ ἐθέλοι τις τῶν Σωκράτους ἀκούειν λόγων, φανεῖεν ἂν γελοῖοι τὸ πρῶτον· τοιαῦτα καὶ ὀνόματα καὶ ῥήματα ἔξωθεν περιαμπέχονται, σατύρου τινὰ ὑβριστοῦ δοράν. ὄνους γὰρ κανθηλίους λέγει καὶ χαλκέας τινὰς καὶ σκυτοτόμους καὶ βυρσοδέψας, καὶ ἀεὶ διὰ τῶν αὐτῶν ταὐτὰ φαί-

1 ἑταῖρος Aristides: ἕτερος BVC | 2 οὐδὲ ἅπτονται ἐν τῷ πολέμῳ Aristides | 4 θαυμάσαι R. B. Hirschigius ztschr. f. d. alterth. wiss. 1851 p. 332 | 5 τοιαῦτ' C | 6 εἶναί με BV | 10 τοὺς μὲν ἄλλους R. B. Hirschigius | δ' C | 11 ἅνθρωπος Sauppius: ἄνθρωπος BVC | 12 οὔτε — παλαιῶν del. R. B. Hirschigius | 13 ἄρα οἷς C | λέγων B | 17 διηγομένοις V | τὸν — λόγον BV | 18 φανοῖεν C | πάνυ γελοῖοι C | 19 σατύρου ἂν C σατύρου δὴ Baiterus Cobetus nou. lectt. p. 502 (mnemos. VII p. 14) σατύρου αὖ Rueckertus | αὐτίκα Hommelius | 21 αἰεὶ BV | τὰ αὐτὰ BC

δοκεῖ Θεμιστοκλῆς γενέσθαι στρατηγῶν ἢ Σωκράτης συστρατευόμενος ἐπὶ Δηλίῳ καὶ ἐν Ἀμφιπόλει καὶ ἐν Ποτιδαίᾳ. καί τοι σὺ γ' ἐκεῖνον ἐπαινεῖς, ὅτι ἐν τῇ ἀπὸ Δηλίου φυγῇ θαρρούντως ἀπῄει καὶ καταφανὴς ὢν ὅτι εἴ τις ἅψοιτο αὐτοῦ, εὖ καὶ καλῶς ἀμυνοῖτο. | 2 *schol.* προτροπάδην· προθύμως, ἀμεταστρεπτί, μετὰ προτροπῆς, ἢ εἰς τοὔμπροσθεν. | 19 *Proclus in Alcib. I p. 313* καὶ ἐν συμποσίῳ δὲ σατύρου τινὸς αὐτὸν ὑβριστοῦ φησὶ δορὰν περιβεβλημένον ἔνδοθεν ἀνοιχθέντα ἀγάλματα δεικνύναι θαυμαστά. | 20 *schol.* κανθηλίους· τοὺς βραδεῖς νοῆσαι ἢ ἀφυεῖς· ἀπὸ κάνθωνος, ὅς ἐστιν ὄνος, εἰρημένοι, ὃς πάλιν ἀπὸ τῶν κανθηλίων, τῶν ἐπιτιθεμένων αὐτῷ ἐπικάμπτων ξύλων, τουτέστι σαγμάτων, ὀνομάζεται οὕτως. | 21 *schol.* βυρσοδέψας· τοὺς τὰς βύρσας ἐργαζομένους καὶ μαλάττοντας.



νεται λέγειν, ὥστε ἄπειρος καὶ ἀνόητος ἄνθρωπος πᾶς ἂν τῶν λόγων καταγελάσειε. διοιγομένους δὲ ἰδὼν αὖ τις καὶ ἐντὸς 222 αὐτῶν γιγνόμενος πρῶτον μὲν νοῦν ἔχοντας ἔνδον μόνους εὑρήσει τῶν λόγων, ἔπειτα θειοτάτους καὶ πλεῖστα ἀγάλματα ἀρετῆς ἐν αὑτοῖς ἔχοντας καὶ ἐπὶ πλεῖστον τείνοντας, μᾶλλον δὲ ἐπὶ πᾶν ὅσον προσήκει σκοπεῖν τῷ μέλλοντι καλῷ κἀγαθῷ ἔσεσθαι. ταῦτ' ἐστίν, ὦ ἄνδρες, ἃ ἐγὼ Σωκράτη ἐπαινῶ· καὶ αὖ ἃ μέμφομαι συμμίξας ὑμῖν εἶπον ἅ με ὕβρισε. καὶ μέντοι οὐκ ἐμὲ μόνον ταῦτα πεποίηκεν, ἀλλὰ καὶ Χαρμίδην τὸν Γλαύκωνος καὶ Εὐθύδημον τὸν Διοκλέους καὶ ἄλλους πάνυ πολλούς, B οὓς οὗτος ἐξαπατῶν ὡς ἐραστὴς παιδικὰ μᾶλλον αὐτὸς καθίσταται ἀντ' ἐραστοῦ. ἃ δὴ καὶ σοὶ λέγω, ὦ Ἀγάθων, μὴ ἐξαπατᾶσθαι ὑπὸ τούτου, ἀλλ' ἀπὸ τῶν ἡμετέρων παθημάτων γνόντα εὐλαβηθῆναι καὶ μὴ κατὰ τὴν παροιμίαν ὥσπερ νήπιον παθόντα γνῶναι.

1 ὥστ' C | 2 καταγελάσειεν BV | αὖ Bekkerus: ἂν BVC | ἐγγὺς Hommelius | 4 τὸν λόγον BV | πλεῖστ' ἀγάλματ' C | 5 αὐτοῖς BVC | τείναντας BV | 6 ἔτι BV | καὶ ἀγαθῷ BV | 12 καὶ σοὶ — 15 γνῶναι l. schol. Hom. Il. *P*, 32 | ἐξαπατᾶσθε BV | 13 ὑπὸ τῶν C | 14 γνῶντα BV

14 *schol.* 'ῥεχθὲν δέ τε νήπιος ἔγνω' ⟨*Hom. Il. P, 32. Υ, 198* πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω⟩· ἐπὶ τῶν μετὰ τὸ παθεῖν συνιέντων τὸ ἁμάρτημα. ἐπὶ τὸ αὐτὸ ἑτέρα παροιμία 'ὁ ἁλιεὺς πληγεὶς νοῦν φύσει'. φασὶ γὰρ ἁλιέα ἀγκιστρεύοντα, ἐπειδὰν σπάσῃ τῷ λίνῳ τὸν ἰχθύν, τῇ χειρὶ προσαγαγόντα κατέχειν, ἵνα μὴ φύγῃ· τοῦτο δὲ συνήθως ποιοῦντα ὑπὸ σκορπίου πληγῆναι· καὶ εἶπε ⟨l. εἰπεῖν⟩ 'πληγεὶς νοῦν φύσεις', καὶ μηκέτι προσάγειν ἐξ ἐκείνου τὴν χεῖρα. ⟨*Diogenian. II, 31* 'ἁλιεὺς πληγεὶς νοῦν οἴσει' add. ὅμοιον δέ ἐστι τῷ παρ' Ἡσιόδῳ ⟨opp. 217⟩ 'παθὼν δέ τε νήπιος ἔγνω'.⟩ κέχρηται τῇ παροιμίᾳ Σοφοκλῆς ἐν Ἀμφιαράῳ σατυρικῷ ⟨fr. 112⟩, λέγων ἔτ' αὖ .... ὥσπερ ἁλιεὺς πληγεὶς .... ενων διδάσκαλος. ἔστι καὶ τρίτη ὁμοία· 'ἐὰν μὴ πάθῃς, οὐ μὴ μάθῃς'. ἐλέχθη δὲ ἐπὶ Τίμωνος τοῦ μισανθρώπου, μηκέτι προσιεμένου τοὺς κόλακας. | 15 *Dion. Hal. art. rhet. 9, 6* ἐγκώμιον λέγει ἐν τῷ συμποσίῳ Ἀλκιβιάδης Σωκράτους. ἐπὶ τέλει τοῦ ἐγκωμίου λέγει πρὸς Ἀγάθωνα ὁ Ἀλκιβιάδης 'ὅρα τοίνυν, ὦ Ἀγάθων, μὴ πάθῃς ὅπερ οἱ πολλοί· ὁ γὰρ Σωκράτης οὗτος προσποιεῖται ἐραστὴς εἶναι, εἶτα ἐρώμενος ἀναφαίνεται. μὴ οὖν καὶ σὺ τὸ αὐτὸ πάθῃς, ὅπερ καὶ πάντες πεπόνθασι'. ἔτυχε δὲ ὁ Ἀλκιβιάδης ἐρῶν τοῦ Ἀγάθωνος καὶ ἐβούλετο ὑπὸ μηδενὸς ἄλλου αὐτὸν ἐρᾶσθαι, καὶ ἐπὶ τέλει ἔρριψε τὴν παραίτησιν τὴν πρὸς Ἀγάθωνα, ὡς ἐπὶ τοῦ ἐγκωμίου λέγων. αὐτὸς ἐξηγεῖται ὁ Σωκράτης τὴν τέχνην. 'νήφειν μοι δοκεῖς, ὦ Ἀλκιβιάδη', — δοκεῖ γὰρ μεθύειν ὁ Ἀλκιβιάδης — 'οὐ γὰρ ἂν κομψῶς γε' φησί 'τὸ σατυ-

C Εἰπόντος δὴ ταῦτα τοῦ Ἀλκιβιάδου γέλωτα γενέσθαι ἐπὶ 38
τῇ παρρησίᾳ αὐτοῦ, ὅτι ἐδόκει ἔτι ἐρωτικῶς ἔχειν τοῦ Σωκρά-
τους. τὸν οὖν Σωκράτη Νήφειν μοι δοκεῖς, φάναι, ὦ Ἀλκι-
βιάδη. οὐ γὰρ ἄν ποτε οὕτω κομψῶς κύκλῳ περιβαλλόμενος
ἀφανίσαι ἐνεχείρεις οὗ ἕνεκα ταῦτα πάντα εἴρηκας, καὶ ὡς ἐν
παρέργῳ δὴ λέγων ἐπὶ τελευτῆς αὐτὸ ἔθηκας, ὡς οὐ πάντα
D τούτου ἕνεκα εἰρηκώς, τοῦ ἐμὲ καὶ Ἀγάθωνα διαβάλλειν, οἰό-
μενος δεῖν ἐμὲ μὲν σοῦ ἐρᾶν καὶ μηδενὸς ἄλλου, Ἀγάθωνα δὲ
ὑπὸ σοῦ ἐρᾶσθαι καὶ μηδ' ὑφ' ἑνὸς ἄλλου. ἀλλ' οὐκ ἔλαθες,
ἀλλὰ τὸ σατυρικόν σου δρᾶμα τοῦτο καὶ σιληνικὸν κατάδηλον
ἐγένετο. ἀλλ', ὦ φίλε Ἀγάθων, μηδὲν πλέον αὐτῷ γένηται,
ἀλλὰ παρασκεύαζου ὅπως ἐμὲ καὶ σὲ μηδεὶς διαβάλῃ. τὸν οὖν
Ἀγάθωνα εἰπεῖν Καὶ μήν, ὦ Σώκρατες, κινδυνεύεις ἀληθῆ
E λέγειν. τεκμαίρομαι δὲ καὶ ὡς κατεκλίνη ἐν μέσῳ ἐμοῦ τε καὶ
σοῦ, ἵνα χωρὶς ἡμᾶς διαλάβῃ. οὐδὲν οὖν πλέον αὐτῷ ἔσται,
ἀλλ' ἐγὼ παρὰ σὲ ἐλθὼν κατακλινήσομαι. Πάνυ γε, φάναι τὸν
Σωκράτη, δεῦρο ὑποκάτω ἐμοῦ κατακλίνου. Ὦ Ζεῦ, εἰπεῖν τὸν
Ἀλκιβιάδην, οἷα αὖ πάσχω ὑπὸ τοῦ ἀνθρώπου. οἴεταί μου
δεῖν πανταχῇ περιεῖναι. ἀλλ' εἰ μή τι ἄλλο, ὦ θαυμάσιε, ἐν
μέσῳ ἡμῶν ἔα Ἀγάθωνα κατακεῖσθαι. Ἀλλ' ἀδύνατον, φάναι
τὸν Σωκράτη. σὺ μὲν γὰρ ἐμὲ ἐπῄνεσας, δεῖ δὲ ἐμὲ αὖ τὸν
ἐπὶ δεξιὰ ἐπαινεῖν. ἐὰν οὖν ὑπὸ σοὶ κατακλινῇ Ἀγάθων, οὐ
δή που ἐμὲ πάλιν ἐπαινέσεται, πρὶν ὑπ' ἐμοῦ μᾶλλον ἐπαινε-
223 θῆναι. ἀλλ' ἔασον, ὦ δαιμόνιε, καὶ μὴ φθονήσῃς τῷ μειρακίῳ
ὑπ' ἐμοῦ ἐπαινεθῆναι· καὶ γὰρ πάνυ ἐπιθυμῶ αὐτὸν ἐγκωμιά-

4 ποθ' C | 5 οὐδ' ἕνεκα BV | πάντ' C | 12 διαβάλῃ μηδείς C | 17 ὑποτοῦ ἐμοῦ V | 20 ἀλλὰ V | 21 γάρ με C | δεῖ δ' C | αὖ τὸν Bekkerus: αὐτὸν BVC | 22 ἐπιδέξια BC ἐπιδεξί' V

ρικὸν δρᾶμα περιέβαλες, εἰ μὴ ἔνηφες. καὶ πάντα ταῦτα εἴρη-κας ὑπὲρ τοῦ διαβάλλειν ἐμὲ καὶ Ἀγάθωνα, ἵνα ἐγὼ μέν σου ἐρῶ καὶ μηδενὸς ἄλλου. καὶ γὰρ ἐποίησας αὐτό,' φησίν 'ὡς οὐ-δὲν ἢ ἐπὶ τέλει αὐτὸ εἰπών, ὡς οὐχ ἕνεκα τούτου πάντα τὰ ἄλλα εἰρηκώς. ἀλλ' οὐκ ἔλαθες, ἀλλὰ τὸ σατυρικὸν δρᾶμα τοῦτο ἀνε-φάνη'. οὕτω γάρ τοι γίνεται ἡ τέχνη καὶ παραδίδοται. | 10 *Tim. Phot.* σατυρικὰ δράματα· ⟨δράματα add.⟩ πλείονα ἦν ἔθος ὑποκρίνεσθαι, ἐν οἷς μεταξὺ ταῦτα ἐμίγνυον πρὸς διάχυσιν. | 15 *Aristaen. epp. I, 25* ἔπειτα παρακαθέζετο μέση ἐμοῦ τε καὶ Παμ-φίλου, ἵνα χωρὶς ἡμᾶς διαλάβῃ. | 19 *Plutarch. quaestt. conu. II, 1, 5 p. 632 B* καὶ Σωκράτην πάλιν Ἀλκιβιάδης ἔσκωπτεν εἰς ζη-λοτυπίαν τὴν περὶ Ἀγάθωνος.



σαι. Ἰοὺ ἰού, φάναι τὸν Ἀγάθωνα, Ἀλκιβιάδη, οὐκ ἔσθ' ὅπως
ἂν ἐνθάδε μείναιμι, ἀλλὰ παντὸς μᾶλλον μεταναστήσομαι, ἵνα
ὑπὸ Σωκράτους ἐπαινεθῶ. Ταῦτ' ἐκεῖνα, φάναι τὸν Ἀλκιβιά-
δην, τὰ εἰωθότα· Σωκράτους παρόντος τῶν καλῶν μεταλαβεῖν
ἀδύνατον ἄλλῳ. καὶ νῦν ὡς εὐπόρως καὶ πιθανὸν λόγον εὗρεν,
ὥστε παρ' ἑαυτῷ τουτονὶ κατακεῖσθαι.

Τὸν μὲν οὖν Ἀγάθωνα ὡς κατακεισόμενον παρὰ τῷ Σω- B
κράτει ἀνίστασθαι· ἐξαίφνης δὲ κωμαστὰς ἥκειν παμπόλλους ἐπὶ
τὰς θύρας καὶ ἐπιτυχόντας ἀνεῳγμέναις ἐξιόντος τινὸς εἰς τὸ
ἄντικρυς πορεύεσθαι παρὰ σφᾶς καὶ κατακλίνεσθαι, καὶ θορύβου
μεστὰ πάντα εἶναι καὶ οὐκέτι ἐν κόσμῳ οὐδενὶ ἀναγκάζεσθαι
πίνειν πάμπολυν οἶνον. τὸν μὲν οὖν Ἐρυξίμαχον καὶ τὸν Φαῖ-
δρον καὶ ἄλλους τινὰς ἔφη ὁ Ἀριστόδημος οἴχεσθαι ἀπιόντας,
ἓ δὲ ὕπνον λαβεῖν καὶ καταδαρθεῖν πάνυ πολύ, ἅτε μακρῶν C
τῶν νυκτῶν οὐσῶν, ἐξεγρέσθαι δὲ πρὸς ἡμέραν ἤδη ἀλεκτρυό-
νων ᾀδόντων, ἐξεγρόμενος δὲ ἰδεῖν τοὺς μὲν ἄλλους καθεύ-
δοντας καὶ οἰχομένους, Ἀγάθωνα δὲ καὶ Ἀριστοφάνη καὶ Σω-
κράτη ἔτι μόνους ἐγρηγορέναι καὶ πίνειν ἐκ φιάλης μεγάλης
ἐπὶ δεξιά. τὸν οὖν Σωκράτη αὐτοῖς διαλέγεσθαι· καὶ τὰ μὲν
ἄλλα ὁ Ἀριστόδημος οὐκ ἔφη μεμνῆσθαι τῶν λόγων· οὔτε γὰρ
ἐξ ἀρχῆς παραγενέσθαι ὑπονυστάζειν τε· τὸ μέντοι κεφάλαιον, D
ἔφη, προσαναγκάζειν τὸν Σωκράτη ὁμολογεῖν αὐτοὺς τοῦ αὐτοῦ
ἀνδρὸς εἶναι κωμῳδίαν καὶ τραγῳδίαν ἐπίστασθαι ποιεῖν, καὶ
τὸν τέχνῃ τραγῳδιοποιὸν ὄντα καὶ κωμῳδιοποιὸν εἶναι. ταῦτα
δὴ ἀναγκαζομένους αὐτοὺς καὶ οὐ σφόδρα ἑπομένους νυστάζειν,
καὶ πρῶτον μὲν καταδαρθεῖν τὸν Ἀριστοφάνη, ἤδη δὲ ἡμέρας
γιγνομένης τὸν Ἀγάθωνα. τὸν οὖν Σωκράτη, κατακοιμήσαντα
ἐκείνους, ἀναστάντα ἀπιέναι, καὶ ἓ ὥσπερ εἰώθει ἕπεσθαι, καὶ

2 ἂν om. C | ἵν' C | 3 ταῦτα BV | 5 εὗρε B | 9 ἀνεῳγμένας B | 11 πάντ' C | 12 πίνειν om. C | 14 ἓ δὲ B in rasura ὁ δὲ V ἕά δε C | 19 ἐπιδέξια BV ἐπιδέξια C | 24 τραγῳδοποιὸν C | καὶ add. ς: om. BVC | 26 πρότερον C | 27 κατακοιμήσαντ' C κατακοιμίσαντα BV | 28 ἀναστάντα — εἰώθει om. C | καὶ ἓ ὥσπερ Hermannus: καὶ ὥσπερ BV καὶ αὐτὸς ὥσπερ ς καὶ ἳ ὥσπερ Bekkerus

22 *de re p. III p. 395 A* ἐπεί που οὐδὲ τὰ δοκοῦντα ἐγγὺς ἀλλήλων εἶναι δύο μιμήματα δύνανται οἱ αὐτοὶ ἅμα εὖ μιμεῖ-σθαι, οἷον κωμῳδίαν καὶ τραγῳδίαν ποιοῦντες. ἢ οὐ μιμήματα ἄρτι τούτω ἐκάλεις; Ἔγωγε· καὶ ἀληθῆ γε λέγεις, ὅτι οὐ δύναν-ται οἱ αὐτοί.

ἐλθόντα εἰς Λύκειον, ἀπονιψάμενον, ὥσπερ ἄλλοτε τὴν ἄλλην ἡμέραν διατρίβειν, καὶ οὕτω διατρίψαντα εἰς ἑσπέραν οἴκοι ἀναπαύεσθαι.

1 ὅλην Stephanus

1 *Aristid. or. 23 t. I p. 287* ὥσθ' ὅταν ἐνθυμηθῶ τοῦ ἐκ τοῦ σ υ μ π ο σ ί ο υ Σωκράτους ἐν Λυκείῳ διημερεύοντος, μηδὲν ἐλάττω μοι προσήκειν οἴεσθαι τῆς περὶ ταῦτα καρτερίας τε καὶ δυνάμεως χάριν εἰδέναι τῷ θεῷ.





# TESTIMONIA

## DE PLATONIS SYMPOSIO

*Proclus in Plat. de re p. p. 350* ὡς οἱ ἐκ τῶν πραγμάτων ὑπὸ τοῦ Πλάτωνος ὑπογεγραμμένοι διάλογοι, καὶ μὴ ἐκ τῶν προσώπων ὡς ὁ Ἀλκιβιάδης ἢ Φαίδων, καὶ ἐκ τῶν ἐν τοῖς διαλόγοις ζητουμένων πραγμάτων, ἀλλ' οὐ τῶν περιστατικῶν, ὥσπερ τὸ σ υ μ π ό σ ι ο ν.

*Philo de uita contempl. 7* τῶν ἐν τῇ Ἑλλάδι σ υ μ π ο σ ί ω ν II p. 480
τὰ περιβόητα καὶ σημειωδέστατα δύο ταῦτά ἐστιν, οἷς καὶ Σ ω κ ρ ά τ η ς παρετύγχανε· τὸ μὲν ἐν Κ α λ λ ί ο υ ἡνίκα στεφανωθέντος Αὐτολύκου τὰ ἐπινίκια εἱστιᾶτο, τὸ δὲ ἐν Ἀ γ ά θ ω ν ο ς, ἃ καὶ μνήμης ἠξίωσαν ἄνδρες τά τε ἤθη καὶ τοὺς λόγους φιλόσοφοι, Ξ ε ν ο φ ῶ ν τε καὶ Π λ ά τ ω ν. ἀνεγράψαντο γὰρ ὡς ἀξιομνημόνευτα, οἷς ὑπετόπασαν χρήσασθαι παραδείγμασι τοὺς ἔπειτα τῆς ἐν συμποσίοις ἐμμελοῦς διαγωγῆς. ἀλλ' ὅμως καὶ ταῦτα συγκρινόμενα τοῖς τῶν ἡμετέρων, οἳ τὸν θεωρητικὸν ἠσπάσαντο βίον, γέλως ἀναφανεῖται. ἡδονὰς μὲν οὖν ἔχει ἑκάτερον, ἀνθρωπικώτερον δέ ἐστι τὸ Ξενοφῶντος· αὐλητρίδες γὰρ καὶ ὀρχησταὶ καὶ θαυματοποιοὶ καὶ ποιηταὶ γελοίων ἐπὶ τῷ σκῶψαι καὶ χαριεντίσασθαι μέγα φρονοῦντές εἰσι, καί τινα

*ἄλλα τῶν ἐν ταῖς ἱλαρωτέραις ἀνέσεσι. τὸ δὲ πλατωνικὸν ὅλον
σχεδόν ἐστι περὶ ἔρωτος, οὐκ ἀνδρῶν ἐπὶ γυναιξὶν ἐπιμανέντων
ἢ γυναικῶν ἀνδράσιν αὐτὸ μόνον — ἐπιτελοῦνται γὰρ αἱ ἐπι-
θυμίαι αὗται νόμῳ φύσεως —, ἀλλὰ ἀνδρῶν ἄρσεσιν ἡλικίᾳ μό-
νον διαφέρουσι· καὶ γὰρ εἴ τις περὶ ἔρωτος καὶ οὐρανίου
Ἀφροδίτης κεκομψεῦσθαι δοκεῖ, χάριν ἀστεϊσμοῦ παρείληπται.
τὸ γὰρ πλεῖστον αὐτοῦ μέρος ὁ κοινὸς καὶ πάνδημος ἔρως διεί-
ληφεν, ἀνδρείαν μέν, τὴν βιωφελεστάτην ἀρετὴν κατὰ πόλεμον
καὶ κατ' εἰρήνην, ἀφαιρούμενος, θήλειαν δὲ νόσον ταῖς ψυχαῖς
ἀπεργαζόμενος καὶ ἀνδρογύνους κατασκευάζων, οὓς ἐχρῆν πᾶσι
τοῖς πρὸς ἀλκὴν ἐπιτηδεύμασι συγκροτεῖσθαι. λυμηνάμενος
δὲ τὴν παιδικὴν ἡλικίαν καὶ εἰς ἐρωμένης τάξιν καὶ διάθεσιν
ἀγαγὼν ἐζημίωσε καὶ τοὺς ἐραστὰς περὶ τὰ ἀναγκαιότατα, σῶμά
τε καὶ ψυχὴν καὶ οὐσίαν· ἀνάγκη γὰρ τοῦ παιδεραστοῦ τὸν μὲν
νοῦν τετάσθαι πρὸς τὰ παιδικὰ καὶ πρὸς ταῦτα μόνον ὀξυ-
δερκοῦντα, πρὸς δὲ τὰ ἄλλα πάντα ἴδιά τε καὶ κοινὰ τυφλού-
μενον ὑπὸ τῆς ἐπιθυμίας καὶ μάλιστα εἰ ἀποτυγχάνοι συντή-
κεσθαι· τὴν δὲ οὐσίαν ἐλαττοῦσθαι διχόθεν, ἔκ τε ἀμελείας
καὶ τῶν εἰς τὸν ἐρώμενον ἀναλωμάτων. παραφύεται δὲ καὶ
μεῖζον ἄλλο πάνδημον κακόν· ἐρημίαν γὰρ πόλεων καὶ σπάνιν
τοῦ ἀρίστου γένους ἀνθρώπων καὶ στείρωσιν καὶ ἀγονίαν τεχνά-
ζονται, οἳ μιμοῦνται τοὺς ἀνεπιστήμονας τῆς γεωργίας, σπεί-
p. 481 ροντες ἀντὶ τῆς βαθυγείου πεδιάδος ὑφάλμους ἀρούρας ἢ λι-
θώδη καὶ ἀπόκροτα χωρία, ἃ πρὸς τῷ μηδὲν πεφυκέναι βλα-
στάνειν καὶ τὰ βληθέντα φθείρει σπέρματα. σιωπῶ τὰ τῶν
μύθων πλάσματα καὶ τοὺς δισωμάτους, οἵ, κατ' ἀρχὰς προ-
σφύντες ἀλλήλοις ἐρωτικαῖς δυνάμεσιν, αὖθις οἷα μέρη συνελη-
λυθότα διεζεύχθησαν, τῆς ἁρμονίας ὑφ' ἧς συνείχοντο λυθείσης.
εὐπαράγωγα γὰρ ταῦτα πάντα δυνάμενα τῇ καινότητι τῆς ἐπι-
νοίας τὰ ὦτα δελεάζειν, ὧν ἐκ πολλοῦ τοῦ περιόντος οἱ Μω-
σέως γνώριμοι, μεμαθηκότες ἐκ πρώτης ἡλικίας ἐρᾶν ἀληθείας,
καταφρονοῦσιν ἀνεξαπάτητοι διατελοῦντες.*

p. 710 B *Plutarch. quaestt. conuiu. VII, 7, 1 περὶ ἀκροαμάτων ἐν Χαι-
ρωνείᾳ λόγοι παρὰ πότον ἐγένοντο Διογενιανοῦ τοῦ Περγαμη-
νοῦ παρόντος, καὶ πράγματα εἴχομεν ἀμυνόμενοι βαθυπώγωνα
σοφιστὴν ἀπὸ τῆς στοᾶς, ὃς ἐπήγαγε τὸν Πλάτωνα κατηγο-
ροῦντα τῶν αὐλητρίσι χρωμένων παρ' οἶνον, ἀλλήλοις δὲ συγ-
γίνεσθαι διὰ λόγου μὴ δυναμένων* *). *καίτοι παρὼν ἀπὸ τῆς*

*) **Plato symp. p. 176 E. Protag. p. 347 C** *καὶ γὰρ δοκεῖ μοι τὸ περὶ ποιήσεως διαλέγεσθαι ὁμοιότατον εἶναι τοῖς συμποσίοις τοῖς τῶν φαύλων καὶ ἀγοραίων ἀνθρώπων. καὶ γὰρ οὗτοι διὰ τὸ μὴ δύνασθαι ἀλλήλοις δι' ἑαυτῶν συνεῖναι ἐν τῷ πότῳ μηδὲ διὰ τῆς ἑαυτῶν φωνῆς καὶ τῶν λόγων τῶν ἑαυτῶν ὑπὸ ἀπαιδευσίας τιμίας ποιοῦσι τὰς αὐλητρίδας, πολλοῦ μισθούμενοι ἀλλοτρίαν φωνὴν τὴν τῶν αὐλῶν καὶ διὰ τῆς ἐκείνων φωνῆς ἀλλήλοις σύνεισιν· ὅπου δὲ καλοὶ κἀγαθοὶ συμπόται καὶ πεπαιδευμένοι εἰσίν, οὐκ ἂν ἴδοις οὔτ' αὐλητρίδας οὔτ' ὀρχηστρίδας οὔτε ψαλτρίας ἀλλ' αὐτοὺς αὑτοῖς ἱκανοὺς ὄντας συνεῖναι ἄνευ τῶν λήρων τε καὶ παιδιῶν τούτων, διὰ τῆς αὑτῶν φωνῆς λέγοντάς τε καὶ ἀκούοντας ἐν μέρει ἑαυτῶν κοσμίως, κἂν πάνυ πολὺν οἶνον πίωσιν.*



*αὐτῆς παλαίστρας Φίλιππος ὁ Προυσιεὺς ἐᾶν ἐκέλευσε τοὺς
παρ' Ἀγάθωνι δαιτυμόνας ἐκείνους παντὸς αὐλοῦ καὶ πηκτί-
δων ἐπιτερπέστερα φθεγγομένους· οὐ γὰρ αὐλητρίδα παρόντων* C
*ἐκείνων ἐκπεσεῖν θαυμαστὸν ἦν, ἀλλὰ εἰ μὴ καὶ πότου καὶ σί-
του λήθη κατελάμβανεν ὑφ' ἡδονῆς καὶ κηλήσεως τὸ συμπό-
σιον. καίτοι Ξενοφῶν οὐκ ᾐσχύνθη, Σωκράτους καὶ Ἀντι-
σθένους καὶ ἄλλων παρόντων τοιούτων τὸν γελωτοποιὸν φέ-
ρων Φίλιππον* ⟨2, 1⟩, *ὥσπερ Ὅμηρος τὸ κρόμυον ποτῷ ὄψον
⟨Il. Λ, 630⟩, ὑποδεῖξαι τοῖς ἀνδράσι. Πλάτων δὲ τόν τε
Ἀριστοφάνους λόγον περὶ τοῦ ἔρωτος ὡς κωμῳδίαν ἐμβέ-
βληκεν εἰς τὸ συμπόσιον, καὶ τελευτῶν ἔξωθεν ἀναπετάσας τὴν
αὔλειον ἐπάγει δρᾶμα τῶν ποικιλωτάτων, μεθύοντα καὶ κώμῳ
χρώμενον ἐστεφανωμένον Ἀλκιβιάδην· εἶτα οἱ πρὸς Σωκρά-* D
*την διαπληκτισμοὶ περὶ Ἀγάθωνος καὶ Σωκράτους ἐγκώμιον* *).
*ὦ φίλαι χάριτες, ἆρα γε εἰπεῖν ὅσιόν ἐστιν, ὅτι τοῦ Ἀπόλλω-
νος ἥκοντος εἰς τὸ συμπόσιον ἡρμοσμένην τὴν λύραν ἔχοντος,
ἱκέτευσαν οἱ παρόντες ἐπισχεῖν τὸν θεὸν ἕως ὁ λόγος συμπε-
ρανθῇ καὶ λάβῃ τέλος;*

*Plutarch. quaestt. conuiu. I, 1, 4 p. 614 C ὁρᾷς γὰρ ὅτι καὶ Πλάτων ἐν τῷ συμποσίῳ περὶ τέλους διαλεγόμενος καὶ τοῦ πρώτου ἀγαθοῦ καὶ ὅλως θεολογῶν οὐκ ἐντείνει τὴν ἀπόδειξιν οὐδ' ὑποκονίεται τὴν λαβήν, ὥσπερ εἴωθεν, εὔτονον ποιῶν καὶ ἄφυκτον, ἀλλ' ὑγροτέροις λήμμασι καὶ μυθολογίαις προσάγεται τοὺς ἄνδρας.*

*Macrob. sat. I, 1, 3* nam cum apud alios quibus sunt descripta conuiuia tum in illo Platonis symposio non austeriore aliqua de re sermo, sed Cupidinis **) uaria et lepida

*) **Ioseph. Racendyt. synops. rhet. t. III p. 511 W** *ἡ πλοκὴ δὲ τῶν σωκρατικῶν συμποσίων — ὁ γὰρ Σωκράτης παρὰ Πλάτωνι τούτων κατήρξατο — σπουδαῖα καὶ γελοῖα καὶ πρόσωπα καὶ πράγματα ⟨ἔχει⟩, ἐν οἷς καὶ διαφορὰν πολλὴν ἴδοι τις τοῦ πλατωνικοῦ συμποσίου πρὸς τὸ τοῦ Ξενοφῶντος καὶ τὰ τῶν ἄλλων συμπόσια.*

**) **Seruius ad Verg. Aen. VI, 444** sane sciendum loqui eum de amore generali, sicut etiam Plato in symposio tractat.

descriptio est, in quo quidem Socrates non artioribus ut
solet nodis urguet atque implicat aduersarium, sed eludendi
magis quam decertandi modo adprehensis dat elabendi prope
atque effugiendi locum. oportet enim uersari in conuiuio
sermones ut castitate integros ita adpetibiles uenustate.

p. 504 E *Athen. XI, 112* εἰς ταῦτά τις ἀποβλέπων τὰ τοῦ καλοῦ
Ξενοφῶντος ἐπιγινώσκειν δυνήσεται ἣν εἶχε πρὸς αὐτὸν ὁ
λαμπρότατος Πλάτων ζηλοτυπίαν. ἢ τάχα φιλονείκως εἶχον
ἀρχῆθεν πρὸς ἑαυτοὺς οἱ ἄνδρες οὗτοι, αἰσθόμενοι τῆς ἰδίας
ἑκάτερος ἀρετῆς, καὶ ἴσως καὶ περὶ πρωτείων διεφέροντο· οὐ
μόνον ἐξ ὧν περὶ Κύρου εἰρήκασι τεκμαιρομένοις ἡμῖν, ἀλλὰ
κἀκ τῶν αὐτῶν ὑποθέσεων. συμπόσια μὲν γὰρ γεγράφασιν
ἀμφότεροι, καὶ ἐν αὐτοῖς ὃ μὲν τὰς αὐλητρίδας ἐκβάλλει ὃ δὲ
F εἰσάγει, καὶ ὃ μέν, ὡς πρόκειται, παραιτεῖται πίνειν μεγάλοις
ποτηρίοις ὃ δὲ τὸν Σωκράτην παράγει τῷ ψυκτῆρι πίνοντα μέ-
χρι τῆς ἕω.

*Diog. Laert. III, 34* ἔοικε δὲ καὶ Ξενοφῶν πρὸς αὐτὸν
ἔχειν οὐκ εὐμενῶς. ὥσπερ γοῦν διαφιλονεικοῦντες τὰ ὅμοια
γεγράφασι, συμπόσιον, Σωκράτους ἀπολογίαν, τὰ ἠθικὰ
ἀπομνημονεύματα· εἶθ' ὁ μὲν πολιτείαν, ὁ δὲ Κύρου παιδείαν.

p. 186 D *Athen. V, 3* ἡμεῖς δὲ νῦν περὶ τῶν ὁμηρικῶν συμ-
ποσίων λέξομεν. ἀφορίζει γὰρ αὐτῶν ὁ ποιητὴς χρόνους
E πρόσωπα αἰτίας. τοῦτο δὲ ὀρθῶς ἀπεμάξατο ὁ Ξενοφῶν
καὶ Πλάτων, οἳ κατ' ἀρχὰς τῶν συγγραμμάτων ἐκτίθενται τὴν
αἰτίαν τοῦ συμποσίου καὶ τίνες οἱ παρόντες. Ἐπίκουρος
p. 187 A δὲ οὐ τόπον, οὐ χρόνον ἀφορίζει, οὐ προλέγει οὐδέν. — — ἔτι
δὲ ὁ μὲν Ὅμηρος ἡλικίαις εἰσάγει διαφέροντας καὶ ταῖς προ-
αιρέσεσι τοὺς κεκλημένους, Νέστορα καὶ Αἴαντα καὶ Ὀδυσσέα,
B τὸ μὲν καθόλου σύμπαντας τῆς ἀρετῆς ἀντεχομένους, εἴδει δὲ
διαφόροις ὁδοῖς ὡρμηκότας ἐπ' αὐτήν. ὁ δ' Ἐπίκουρος ἅπαν-
τας εἰσήγαγε προφήτας ἀτόμων, καὶ ταῦτ' ἔχων παραδείγματα
τήν τε τοῦ ποιητοῦ τῶν συμποσίων ποικιλίαν καὶ τὴν Πλά-
τωνός τε καὶ Ξενοφῶντος χάριν. ὧν ὁ μὲν Πλάτων
τὸν μὲν Ἐρυξίμαχον ἰατρόν, τὸν δ' Ἀριστοφάνη ποιη-
τήν, ἄλλον δ' ἀπ' ἄλλης προαιρέσεως σπουδάζοντας εἰσήγαγε,
p. 177 B Ξενοφῶν δὲ καί τινας ἰδιώτας συνανέμιξε. — — Ἐπίκου-
C ρος δὲ συμπόσιον φιλοσόφων μόνον πεποίηται. — — ἐδίδαξε
δ' Ὅμηρος καὶ οὓς οὐ δεῖ καλεῖν, ἀλλ' αὐτομάτους ἰέναι πρε-
πόντως, ἐξ ἑνὸς τῶν ἀναγκαίων δεικνὺς τὴν τῶν ὁμοίων πα-
ρουσίαν ⟨*Il. B, 408*⟩ 'αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Με-



νέλαος'. — — Πλάτων δ' ἐν τῷ συμποσίῳ περὶ τῶν αὐτῶν p. 188 A
λέγει οὕτως ⟨p. 174 B⟩ 'ἵνα καὶ — — δίαιταν'. — — καὶ πρὸ p. 179 B
τοῦ θοινᾶσθαι δὲ ἃ δεῖ ποιεῖν ἡμᾶς διδάσκει πάλιν Ὅμηρος,
ἀπαρχὰς τῶν βρωμάτων νέμειν τοῖς θεοῖς. — — καὶ σπον- C
δοποιεῖταί γε τοὺς δαιτυμόνας. — — ἅπερ καὶ Πλάτων φυ- D
λάττει κατὰ τὸ συμπόσιον. μετὰ γὰρ τὸ δειπνῆσαι σπονδάς τέ
φησι ποιῆσαι καὶ τὸν θεὸν παιωνίσαντας τοῖς νομιζομένοις
γέρασι * * * ⟨p. 176 A⟩. παραπλησίως δὲ καὶ Ξενοφῶν ⟨2, 1⟩.
παρὰ δ' Ἐπικούρῳ οὐ σπονδή, οὐκ ἀπαρχὴ θεοῖς, ἀλλ' ὥσπερ
Σιμωνίδης ἔφη περὶ τῆς ἀκόσμου γυναικός ⟨56⟩ 'ἄθυστα δ'
ἱρὰ πολλάκις κατεσθίει'. — — τὸν γὰρ οἶνον Ὅμηρος οὐκ F
ἠλεὸν ὥσπερ ἠλίθιον καλεῖ καὶ ματαιοποιόν, οὐδὲ κελεύει σκυ-
θρωπὸν εἶναι μήτε ᾄδοντα μήτε γελῶντα μήτ' ἐρρύθμως ποτὲ
καὶ πρὸς ὄρχησιν τρεπόμενον· οὐχ οὕτως ἀγροῖκος οὐδ' ἐπα-
ρίστερός ἐστιν, ἀλλ' ᾔδει τούτων ἑκάστου καὶ ποσότητος καὶ
ποιότητος διαφοράν. — παρὰ δὲ τῷ Πλάτωνι τούτων οὐδὲν p. 180 A
ἔμμετρον, ἀλλὰ πίνουσι μὲν τοσοῦτον ὥστε μηδὲ τοῖς ἰδίοις
ποσὶν ἵστασθαι. ὅρα γὰρ τὸν ἐπίκωμον Ἀλκιβιάδην ὡς
ἀσχημονεῖ ⟨p. 212 D⟩· οἱ δ' ἄλλοι τὸν ὀκτακότυλον ψυκτῆρα
πίνουσι ⟨p. 214 A⟩, προφάσεως λαβόμενοι, ἐπεί περ αὐτοὺς B
προείλκυσεν Ἀλκιβιάδης οὐχ ὥσπερ οἱ παρ' Ὁμήρῳ ⟨Il. *I*, 177⟩
'αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμός'. — — ἐν p. 182 A
δὲ τῷ Ἐπικούρου συμποσίῳ κολάκων ἐστὶν ἄγυρις ἀλλήλους
ἐπαινούντων, τὸ δὲ Πλάτωνος πλῆρές ἐστι μυκτηριστῶν ἀλ-
λήλους τωθαζόντων· τὸν γὰρ περὶ Ἀλκιβιάδου λόγον σιω-
πῶ*). παρὰ δ' Ὁμήρῳ κεκρότηται τὰ σώφρονα συμπόσια.
— — πάλιν Ἐπίκουρος ἐν τῷ συμποσίῳ ζητεῖ περὶ δυσπε- p. 187 C
ψίας, ὥστ' οἰωνίσασθαι· εἶθ' ἑξῆς περὶ πυρετῶν. τὴν μὲν
γὰρ ἐπιτρέχουσαν τῇ λέξει ἀρρυθμίαν τί δεῖ καὶ λέγειν; Πλά-
των δέ — τὸν μὲν ὑπὸ τῆς λυγγὸς ὀχλούμενον καὶ θεραπευό-
μενον ἀνακογχυλιασμοῖς ὕδατος, ἐν δὲ ταῖς ὑποθήκαις τοῦ κάρ-
φους, ἵνα τὴν ῥῖνα κινήσας πτάρῃ ⟨p. 185 C. 189 A⟩, παρίημι·
κωμῳδεῖν γὰρ ἤθελε καὶ διασύρειν — χλευάζει τε τὰ ἰσόκωλα τὰ
Ἀγάθωνος καὶ τὰ ἀντίθετα ⟨p. 197 D⟩ καὶ τὸν Ἀλκιβιά-
δην δὲ παράγει λέγοντα ὅτι πασχητιᾷ ⟨p. 217 A⟩. — — ἀλλὰ F
μὴν καὶ τὸ Ξενοφῶντος συμπόσιον, καίπερ ἐπαινούμενον,
οὐκ ἐλάττους ἔχει τούτων ἐπιλήψεις. Καλλίας μὲν γὰρ συ-

*) *Athen. XI p. 506 C* ἃ δὲ περὶ Ἀλκιβιάδου εἴρηκεν ἐν τῷ συμ-
ποσίῳ οὐδ' εἰς φῶς λέγεσθαι ἄξιον ἐν τῷ προτέρῳ τῶν εἰς αὐτὸν δια-
λόγων.

νάγει τὸ συμπόσιον, ἐπειδήπερ τὰ παιδικὰ αὐτοῦ Αὐτόλυκος
παναθήναια παγκράτιον ἐστεφανώθη. καὶ εὐθὺς οἱ κατακλι-
θέντες τῷ παιδὶ προσέχουσι τὸν νοῦν, καὶ ταῦτα τοῦ πατρὸς
p. 188 A παρακαθημένου ⟨1, 8⟩. ʽὥσπερ γάρ, ὅταν φέγγος ἐν νυκτὶ παρῇ,
πάντων προσάγεται τὰ ὄμματα, οὕτω καὶ τὸ Αὐτολύκου κάλ-
λος πάντων ἐφέλκεται τὰς ὄψεις ἐφ' ἑαυτό. ἔπειτα τῶν πα-
ρόντων οὐδεὶς ἦν ὃς οὐκ ἔπασχέ τε τὴν ψυχὴν ὑπ' ἐκείνου· οἱ
μέν γε σιωπηλότεροι ἐγίγνοντο, οἱ δὲ καὶ ἐσχηματίζοντό πως.'
ἀλλ' οὐχ Ὅμηρος τοιοῦτόν τι εἰπεῖν ἐπεχείρησε καίπερ τῆς
C Ἑλένης παρούσης. — — ὁ δὲ Σωκράτης τίνος χάριν τῶν
αὐλητρίδων ἀνεχόμενος καὶ τοῦ ὀρχουμένου παιδὸς καὶ κιθαρί-
ζοντος, ἔτι δὲ καὶ τῆς κυβιστώσης γυναικὸς ἀπρεπῶς, τὸ μύ-
ρον ἀπείπατο ⟨2, 3⟩; οὐδεὶς γὰρ ἂν αὐτοῦ ἀγελαστὶ ἠνέσχετο
κατὰ νοῦν ἔχων ταῦτα τὰ ἔπη ⟨Aristoph. nubb. 104⟩

τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγεις,
ὧν ὁ κακοδαίμων Σωκράτης καὶ Χαιρεφῶν.

καὶ μὴν ἀσύμφωνα καὶ τὰ μετὰ ταῦτα τῇ αὐστηρότητι. ὁ γὰρ
D δὴ Κριτόβουλος, μειράκιον ἀστεῖον, γέροντα καὶ διδάσκαλον αὐ-
τοῦ τὸν Σωκράτη σκώπτει πολὺ τῶν σιληνῶν αἰσχίονα λέγων
εἶναι ⟨4, 19⟩. ὁ δὲ αὐτῷ διαμορφοσκοπεῖται καὶ κριτὰς ἑλόμε-
νος τόν τε παῖδα καὶ τὴν ὀρχηστρίδα προτίθησι νικητήρια φι-
λήματα τῶν κριτῶν ⟨5, 9⟩. τίς οὖν τῶν νέων ἐντυχὼν τούτοις
οὐκ ἐπιτριβήσεται μᾶλλον ἤπερ εἰς ἀρετὴν προαχθείη; — —
p. 192 A τὸ δὲ Πλάτωνος συμπόσιον οὐ συνέδριόν ἐστι, οὐ βουλευτή-
ριον, οὐ λέσχη φιλοσόφων. Σωκράτης ⟨p. 223 C⟩ γὰρ οὐδὲ
τοῦ συμποσίου ἀποστῆναι θέλει, καίτοι Ἐρυξιμάχου καὶ
Φαίδρου καὶ ἄλλων τινῶν ἀποστάντων, ἀλλ' ἐγρήγορε μετ'
Ἀγάθωνος καὶ Ἀριστοφάνους καὶ πίνει ἐξ ἀργυροῦ φρέατος·
καλῶς γάρ τις τὰ μεγάλα ποτήρια οὕτως ὠνόμασε ⟨cf. XI
p. 461 C⟩. [πίνει τ' ἐκ τῆς φιάλης ἐπιδέξια.] φησὶ δὲ καὶ μετὰ
τοῦτο τοὺς μὲν δύο νυστάζειν, καταδαρθεῖν δὲ πρότερον τὸν
B Ἀριστοφάνη, ἤδη δὲ ἡμέρας ὑποφαινούσης τὸν Ἀγάθωνα·
καὶ τὸν Σωκράτη κατακοιμήσαντα ἐκείνους ἀναστάντ' ἀπιέ-
ναι εἰς τὸ Λύκειον, ἐξόν, φησὶν ὁ Ἡρόδικος ⟨ἐν τοῖς πρὸς
τὸν φιλοσωκράτην cf. p. 115 F⟩, εἰς τοὺς Ὁμήρου Λαιστρυ-
γόνας ⟨Od. κ, 84⟩, ʽἔνθα κ' ἄυπνος ἀνὴρ δοιοὺς ἐξήρατο
μισθούς'.

p. 215 C *Athen. V*, 55 τοιοῦτοί εἰσιν οἱ ἀπὸ φιλοσοφίας στρατηγοί.
περὶ ὧν Δημοχάρης ⟨ὑπὲρ Σοφοκλέους cf. XIII p. 610 F⟩ ἔλεγεν
ʽὥσπερ ἐκ θύμβρας οὐδεὶς ἂν δύναιτο κατασκευάσαι λόγχην, οὐδ' ἐκ



Σωκράτους στρατιώτην ἄμεμπτον ⟨cf. p. 187 D⟩. ὁ γὰρ Πλάτων
φησὶ τρεῖς στρατείας στρατεύσασθαι Σωκράτη, τὴν μὲν εἰς Ποτί- D
δαιαν, τὴν δὲ εἰς Ἀμφίπολιν, τὴν δὲ εἰς Βοιώτους, ὅτε καὶ συνέβη
τὴν ἐπὶ Δηλίῳ μάχην γενέσθαι ⟨apol. p. 28 E. symp. p. 219 E.
221 A⟩. μηδενὸς δὲ τοῦθ' ἱστορηκότος αὐτὸς καὶ ἀριστείων φησὶν
αὐτὸν τετυχηκέναι ἁπάντων τῶν Ἀθηναίων φυγόντων, πολλῶν δὲ
καὶ ἀπολομένων. πάντα δὲ ταῦτα ἐψευδολόγηται. ἡ μὲν γὰρ ἐπ'
Ἀμφίπολιν στρατεία γέγονεν ἐπὶ Ἀλκαίου ἄρχοντος ⟨Ol. 89, 3⟩
Κλέωνος ἡγουμένου ἐξ ἐπιλέκτων ἀνδρῶν, ὥς φησι Θουκυ-
δίδης ⟨V, 2⟩. τούτων οὖν τῶν ἐπιλέκτων ἀνάγκη εἶναι καὶ
Σωκράτη, ᾧ πλὴν τρίβωνος καὶ βακτηρίας οὐδὲν ἦν. τίς οὖν E
εἶπεν ἱστοριογράφος ἢ ποιητής; ἢ ποῦ Θουκυδίδης τὸν Σω-
κράτη παρενέχρωσε τὸν Πλάτωνος στρατιώτην; ʽτί γὰρ ἀσπίδι
ξύνθημα καὶ βακτηρίᾳ'; πότε δὲ καὶ εἰς Ποτίδαιαν ἐστρατεύ-
σατο, ὡς ἐν τῷ Χαρμίδῃ εἴρηκεν ὁ Πλάτων ⟨p. 153 A⟩,
φάσκων ⟨symp. p. 220 D⟩ αὐτὸν καὶ τῶν ἀριστείων τότε Ἀλ-
κιβιάδῃ παραχωρῆσαι, τοῦτο οὔτε Θουκυδίδου ἀλλ' οὐδ'
Ἰσοκράτους εἰρηκότος ἐν τῷ περὶ τοῦ ζεύγους. ποίας δὲ
καὶ μάχης γενομένης ἔλαβε τὰ ἀριστεῖα Σωκράτης; καὶ τί πρά-
ξας ἐπιφανὲς καὶ διάσημον; καθόλου μάχης μηδεμίας συμπε-
σούσης, ὡς ἱστόρηκε Θουκυδίδης. οὐκ ἀρκεσθεὶς δὲ ταύτῃ F
τῇ τερατολογίᾳ ὁ Πλάτων ἐπάγει καὶ τὴν ἐπὶ Δηλίῳ γενο-
μένην, μᾶλλον δὲ πεπλασμένην ἀνδραγαθίαν. εἰ γὰρ καὶ τὸ
Δήλιον ἠρήκει Σωκράτης, ὡς ἱστορεῖ Ἡρόδικος ὁ κρατή-
τειος ἐν τοῖς πρὸς τὸν φιλοσωκράτην, ἅμα τοῖς πολλοῖς ἀσχη-
μόνως ἂν ἔφυγε, Παγώνδου δύο τέλη περιπέμψαντος τῶν ἱπ-
πέων ἐκ τοῦ ἀφάνους περὶ τὸν λόφον. τότε γὰρ οἱ μὲν πρὸς τὸ 216
Δήλιον τῶν Ἀθηναίων ἔφυγον, οἱ δ' ἐπὶ θάλατταν, ἄλλοι δ' ἐπὶ
Ὠρωπόν, οἱ δ' ἐπὶ Πάρνηθα τὸ ὄρος· Βοιωτοὶ δ' ἐφεπόμενοι
ἔκτεινον, καὶ μάλιστα οἱ ἱππεῖς οἵ τε αὐτῶν καὶ Λοκρῶν ⟨Thuc.
IIII, 96⟩. τοιούτου οὖν κυδοιμοῦ καὶ φόβου καταλαβόντος τοὺς
Ἀθηναίους μόνος Σωκράτης ʽβρενθυόμενος καὶ τὠφθαλμὼ παρα-
βάλλων' εἱστήκει ἀναστέλλων τὸ Βοιωτῶν καὶ Λοκρῶν ἱππικόν;
καὶ ταύτης τῆς ἀνδρείας αὐτοῦ οὐ Θουκυδίδης μέμνηται, οὐκ
ἄλλος οὐδεὶς ⟨οὔτε ἱστοριογράφος οὔτε add. Schweighaeuserus⟩
ποιητής. πῶς δὲ καὶ τῶν ἀριστείων Ἀλκιβιάδῃ παραχωρεῖ, τῷ B
μηδ' ὅλως κεκοινωνηκότι ταύτης τῆς στρατείας; ἐν δὲ τῷ Κρί-
τωνι*) ὁ τῇ Μνημοσύνῃ φίλος Πλάτων οὐδὲ ποιήσασθαί ποτε

*) Plato Crit. p. 52 B οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάν-
των διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, εἰ μή σοι διαφερόντως ἤρεσκε καὶ

ἀποδημίαν τὸν Σωκράτη ἔξω τῆς εἰς Ἰσθμὸν πορείας εἴρηκε.
καὶ Ἀντισθένης δ' ὁ σωκρατικὸς περὶ τῶν ἀριστείων τὰ
αὐτὰ τῷ Πλάτωνι ἱστορεῖ. ʽοὐκ ἔστι δ' ἔτυμος λόγος οὗτος'.
χαρίζεται γὰρ καὶ ὁ κύων οὗτος πολλὰ τῷ Σωκράτει· ὅθεν οὐ-
δετέρῳ αὐτῶν δεῖ πιστεύειν, σκοπὸν ἔχοντας Θουκυδίδην. ὁ
C γὰρ Ἀντισθένης καὶ προςεπάγει τῇ ψευδογραφίᾳ λέγων οὕτως
ʽἡμεῖς δὲ ἀκούομεν κἀν τῇ πρὸς Βοιωτοὺς μάχῃ τἀριστεῖά σε
λαβεῖν. Εὐφήμει, ὦ ξένε· Ἀλκιβιάδου τὸ γέρας, οὐκ ἐμόν. Σοῦ
γε δόντος, ὡς ἡμεῖς ἀκούομεν'. ὁ δὲ Πλάτωνος Σωκράτης εἰς
Ποτίδαιαν λέγει παρεῖναι καὶ τῶν ἀριστείων Ἀλκιβιάδῃ παρα-
κεχωρηκέναι. προτερεῖ δὲ κατὰ πάντας τοὺς ἱστορικοὺς τῆς ἐπὶ
Δήλιον στρατείας ἡ περὶ Ποτίδαιαν, ἧς Φορμίων ἐστρατήγει.

Πάντ' οὖν ψεύδονται οἱ φιλόσοφοι καὶ πολλὰ παρὰ τοὺς
D χρόνους γράφοντες οὐκ αἰσθάνονται, καθάπερ οὐδ' ὁ καλὸς Ξε-
νοφῶν, ὃς ἐν τῷ συμποσίῳ ὑποτίθεται Καλλίαν τὸν Ἱπ-
πονίκου Αὐτολύκου τοῦ Λύκωνος ἐρῶντα καὶ νενικηκότος αὐτοῦ
παγκράτιον ἑστίασιν ποιούμενον καὶ σὺν τοῖς ἄλλοις δαιτυμόσι
παρόντα ⟨αὐτόν add. Casaubonus⟩, τὸν ἴσως μηδὲ γεννηθέντα ἢ
περὶ τὴν παιδικὴν ἡλικίαν ὑπάρχοντα. ἔστι δ' οὗτος ὁ καιρὸς
καθ' ὃν Ἀριστίων ἄρχων ἦν ⟨Ol. 89, 4⟩. ἐπὶ τούτου γὰρ Εὔ-
πολις τὸν Αὐτόλυκον διδάξας διὰ Δημοστράτου χλευάζει
E τὴν νίκην τοῦ Αὐτολύκου. πάλιν ὁ Ξενοφῶν ποιεῖ τὸν Σωκράτη
λέγοντα ἐν τῷ συμποσίῳ ταυτί ⟨8, 32⟩ ʽκαίτοι Παυσανίας γε, ὁ
Ἀγάθωνος τοῦ ποιητοῦ ἐραστής, ἀπολογούμενος ὑπὲρ τῶν
ἀκρασίᾳ συγκαλινδουμένων εἴρηκεν ὡς καὶ στράτευμα ἀλκιμώ-
τατον ἂν γένοιτο ἐκ παιδικῶν καὶ ἐραστῶν. τούτους γὰρ ἂν
ἔφη οἴεσθαι μάλιστ' ἂν αἰδεῖσθαι ἀλλήλους ἀπολιπεῖν· θαυ-
μαστὰ λέγων, εἴ γε οἱ ψόγου τε ἀφροντιστεῖν καὶ ἀναισχυντεῖν
πρὸς ἀλλήλους ἐθιζόμενοι, οὗτοι μάλιστ' αἰσχύνονται αἰσχρόν
F τι ποιεῖν'. ὅτι μὲν οὖν τούτων οὐδὲν εἴρηκε Παυσανίας ἔξεστι
μαθεῖν ἐκ τοῦ Πλάτωνος συμποσίου. Παυσανίου γὰρ οὐκ οἶδα
σύγγραμμα, οὐδ' εἰσῆκται παρ' ἄλλῳ λαλῶν οὗτος περὶ χρή-
σεως ἐραστῶν καὶ παιδικῶν ἢ παρὰ Πλάτωνι· πλὴν εἴτε κατέ-
ψευσται τοῦτο Ξενοφῶν εἴτ' ἄλλως γεγραμμένῳ τῷ Πλάτωνος
ἐνέτυχε συμποσίῳ, παρείσθω· τὸ δὲ κατὰ τοὺς χρόνους ἀστό-
χημα λεκτέον. Ἀριστίων, ἐφ' οὗ τὸ συμπόσιον ὑπόκειται συ-
νηγμένον ⟨Ol. 89, 4⟩, πρὸ τεσσάρων ἐτῶν Εὐφήμου ⟨Ol. 90, 4⟩
217 πρότερος ἦρξε, καθ' ὃ Πλάτων τὰ Ἀγάθωνος νικητήρια γέγρα-

οὔτ' ἐπὶ θεωρίαν πώποτ' ἐκ τῆς πόλεως ἐξῆλθες, ὅτι μὴ ἅπαξ εἰς Ἰσθμόν,
οὔτε ἄλλοσε οὐδαμόσε, εἰ μή ποι στρατευσόμενος.



φεν, ἐν οἷς Παυσανίας τὰ περὶ τῶν ἐρωτικῶν διεξέρχεται. θαυ-
μαστὸν οὖν καὶ τερατῶδες, εἰ τὰ μήπω ῥηθέντα, μετὰ δὲ τέτ-
ταρα ἔτη ἐπιχειρηθέντα παρ' Ἀγάθωνι, Σωκράτης παρὰ Καλ-
λίᾳ δειπνῶν εὐθύνει οὐ δεόντως ῥηθέντα.

Ὅλως δὲ λῆρός ἐστι τῷ Πλάτωνι τὸ συμπόσιον. ὅτε
γὰρ Ἀγάθων ἐνίκα, Πλάτων ἦν τεσσαρεσκαίδεκα ἐτῶν. ὃ μὲν
γὰρ ἐπὶ ἄρχοντος Εὐφήμου ⟨Ol. 90, 4⟩, στεφανοῦται ληναίοις,
Πλάτων δὲ γεννᾶται ἐπὶ Ἀπολλοδώρου τοῦ μετ' Εὐθύδημον
ἄρξαντος ⟨Ol. 87, 3⟩· δύο δὲ καὶ ὀγδοήκοντα βιώσας ἔτη μετήλ- B
λαξεν ἐπὶ Θεοφίλου τοῦ μετὰ Καλλίμαχον ⟨Ol. 108, 1⟩, ὅς
ἐστιν ὀγδοηκοστὸς καὶ δεύτερος. ἀπὸ δὲ Ἀπολλοδώρου καὶ
τῆς Πλάτωνος γενέσεως τεσσαρεσκαιδέκατός ἐστιν ἄρχων Εὔ-
φημος, ἐφ' οὗ τὰ ἐπινίκια Ἀγάθωνος ἑστιῶνται. καὶ αὐτὸς δὲ
ὁ Πλάτων δηλοῖ τὴν συνουσίαν ταύτην πρὸ πολλοῦ γεγονέναι,
λέγων οὕτως ἐν τῷ συμποσίῳ ⟨p. 172 C⟩ ʽεἰ νεωστὶ ἡγεῖ τὴν
συνουσίαν γεγονέναι, ὥστε κἀμὲ παραγενέσθαι. Ἐγὼ γάρ, ἔφη.
Πόθεν, ἦν δ' ἐγώ, ὦ Γλαύκων; οὐκ οἶσθ' ὅτι πολλῶν ἐτῶν C
Ἀγάθων οὐκ ἐπιδεδήμηκε'; καὶ προελθών φησιν ʽἀλλ' εἰπέ
μοι, πότ' ἐγένετο ἡ συνουσία αὕτη; κἀγὼ εἶπον ὅτι Παίδων
ἔτι ὄντων ἡμῶν, ὅτε τῇ τραγῳδίᾳ ἐνίκησεν ὁ Ἀγάθων'. ὅτι δὲ
πολλὰ ὁ Πλάτων παρὰ τοὺς χρόνους ἁμαρτάνει δῆλόν ἐστιν ἐκ
πολλῶν. κατὰ γὰρ τὸν εἰπόντα ποιητήν ʽὅττι κεν ἐπ' ἀκαιρίμαν
γλῶτταν ἔλθῃ' τοῦτο μὴ διακρίνας γράφει. οὐ γὰρ ἀγράφως τι
ἔλεγεν, ἀλλὰ πάνυ ἐσκεμμένως.

*Aristides or.* 46 ἐν γὰρ τῷ συμποσίῳ συνάγει μὲν εἰς ταυ- II p. 286
τὸν Ἀριστοφάνη καὶ Σωκράτη καὶ Ἀγάθωνα, ἔτι
μειράκιον ὄντα, ὥς φησι. προάγει δὲ εἰς τοσούτους τοὺς χρό- p. 287
νους, ὥστε λέγων ὁ Ἀριστοφάνης, ἐπειδὴ τῆς λυγγὸς ἐπαύ-
σατο, τὸν προβληθέντα λόγον μέμνηται καὶ οὗτος αὖ πάλιν Ἀρ-
κάδων ὑπὸ Λακεδαιμονίων διῳκισμένων ⟨p. 193 A⟩.
διῳκίσθησαν δὲ Μαντινεῖς ὑπὸ Λακεδαιμονίων ἤδη τῆς εἰρή-
νης ὀμωμοσμένης ⟨Ol. 98, 3⟩. οὕτως ἐστὶ ταῦτ' ἐκείνων ἔτι
νεώτερα. πῶς οὖν ἢ Ἀριστοφάνης ἂν εἴη λέγων ταῦτα, ἢ Σω-
κράτης ἀκούων ἢ Ἀγάθων ἔτι μειράκιον περὶ τούτους τοὺς
χρόνους; πῶς δ' ἂν καὶ Ἀλκιβιάδης κωμάζοι παρ' αὐτούς, καὶ
οὗτος νέος τε ὢν ἔτι καλός, ὃς πρότερος τοῦ Σωκράτους ἐτε-
θνήκει, βιοὺς τόσα καὶ τόσα ἔτη τὰ σύμπαντα; εἰ μὴ ἄρα ἐν
τῷ Ἠλυσίῳ πεδίῳ τὸ συμπόσιον συνεκροτεῖτο. τίς δὲ καὶ ἡ
λὺγξ ἡ τοῦ Ἀριστοφάνους; καὶ ποῦ σὺ τοῦτο ἐτήρησας; ἀλλ'
οἶμαι λύζειν αὐτὸν ἔδει, ἵνα εἰς ἀπληστίαν σκωφθῇ. εἰ δέ τις

τῇ Πλάτωνος δόξῃ περὶ πάντων ἰσχυρίζοιτο καὶ φάσκοι μὲν
ζῆν Σωκράτη, ὅτε ὁ τῶν ἐν Κορίνθῳ καὶ Λεχαίῳ τετελευτη-
κότων ἐλέγετο ἐπιτάφιος, πίνειν δ' ἐν Ἀγάθωνος μετὰ τὴν εἰ-
ρήνην, λύζειν δ' Ἀριστοφάνη ἐν τῷ συμποσίῳ, κωμάζειν δὲ
Ἀλκιβιάδην, μειράκια δ' εἶναι τηνικαῦτα Ἀγάθωνα καὶ Ἀλκι-
βιάδην, ὁμοῦ δ' εἶναι πάντα χρήματα, πῶς οὐχὶ ληρήσει μὴ
προσεξετάζων, εἴ τι κατ' ἐξουσίαν ἀνὴρ λέγοι, ἀλλ' ὥσπερ παῖς
ἔμβραχυ τοῦτ' ἀρκεῖν ὑπολαμβάνων ὅ τι φαίη Πλάτων;

# TESTIMONIA

## DE DIOTIMAE MYTHO

p. 161 D *Themist. or. 13* φησὶ γοῦν ⟨Σωκράτης⟩ ἐν τοῖς Ἀγάθωνος
ἐπινικίοις μετὰ τὸν πότον αὐτός τε ἀγαγόμενος εἰς τὸν ἔπαινον
τοῦ ἔρωτος καὶ τοὺς συμπότας παρασκευάζων οὑτωσὶ ἀπαρα-
καλύπτως καὶ ἐκφανῶς ⟨p. 177 E⟩ 'οὐδὲ ἄλλο φημὶ ἐπίστασθαι
ἢ τὰ ἐρωτικά'. βαβαί, ὦ φίλε Σώκρατες, ὡς λίαν αὐθαδῶς καὶ
πόρρω τῆς εἰωθυίας σοι εὐλαβείας, καὶ ἐγγύς τι Προδίκου τοῦ
162 Κείου καὶ Πρωταγόρου τοῦ Ἀβδηρίτου καὶ Γοργίου τοῦ Λεον-
τίνου, καὶ ὅσοι γυμναῖς ταῖς κεφαλαῖς ἀνεκήρυττον ἑαυτοὺς ἐν
τοῖς Ἕλλησιν ἐπὶ τῇ σοφίᾳ. καὶ δῆτα Ἀρχέλαον μὲν τὸν σεαυ-
τοῦ διδάσκαλον ἀποκρύπτεις καὶ οὐδεπώποτε ἐν λόγῳ τινὶ
ἐποιήσω τὸν κληρονόμον τῆς ἀνωτάτω σοφίας, ὅτι σμικρόν γε
τὸ μάθημα καὶ ἀνθρωπικὸν ἐδόκει εἶναι, σάρκα καὶ ὀστοῦν
καὶ μυελόν, εἰ δὲ βούλει, γῆν καὶ ὕδωρ καὶ ἔτι τὰ τούτων ἀρ-
χεγονώτερα, ὅπῃ τε καὶ ὅπως γεννᾶται ⟨corr. Harduinus: γεν-
νᾶσθαι codd.⟩, μηδὲ φθειρόμενα, ἀλλὰ συνιόντα καὶ ἀπιόντα
ἀπ' ἀλλήλων. τὴν δὲ μαντινικὴν ⟨corr. Dauisius ad Max. Tyr.
24, 4 p. 588: μαντικὴν codd.⟩ ξένην ὑμνεῖς καὶ διδάσκαλον σε-
αυτοῦ ἀποφαίνεις ἐρωτικῶν ⟨p. 120 D⟩, καὶ ἀποτείνεις μακρὸν
B καὶ πάγκαλον λόγον τὰ γενέθλια τῆς ⟨scripsi: γενέσθαι, τά τε
codd.⟩ Ἀφροδίτης καὶ δεῖπνον διεξιὼν καὶ Πόρου μέθην καὶ
ὕπνον καὶ ἐπιβουλὴν τῆς Πενίας καὶ κατακοίμησιν παρὰ τῷ
Πόρῳ καὶ ἐντεῦθεν γένεσιν Ἔρωτος, ὃν θεὸν μὲν ⟨οὐκ add.⟩
ὀνομάζεις, δαίμονα δὲ μέγαν καὶ μέγιστον τῶν ἄλλων δαιμό-
νων. τὰ μὲν δὴ ἄλλα σοι ὀνόματα ὅ τι νοεῖ τε ⟨Dindorfius:
νοεῖται codd.⟩ καὶ ὅ τι βούλεται ἡ Ἀφροδίτη καὶ ὅ τι ἡ Πε-
νία καὶ ὅ τι ὁ Πόρος καὶ ὅ τι ἡ μέθη τοῦ Πόρου, καὶ ὅσα



ἐφεξῆς καταλέγεις, δῆλος εἶ ὅτι οὐ ταῦτα λέγεις ἃ οἱ πολλοὶ
νῦν ἴσασιν ἐκ τῶν ὀνομάτων οἷς κέχρηνται, ἀλλ' ἕτερα δύσφρα- C
στα καὶ δυσάρεστα καὶ τῷ μύθῳ ἐνδεδυκότα ὥσπερ χιτωνίῳ,
ὡς μὴ ἐπίδρομα εἶναι τοῖς παντάπασιν ἀμυήτοις.

Τὰ μὲν δὴ ἄλλα, ὥσπερ ἔφην, καθ' ἑαυτοὺς ἐπὶ σχολῆς
σοι ἐπαινεσόμεθα, ἃ δὲ τοῦ λόγου μάλιστα θαυμάσας ἔχω,
ταῦτα καὶ νῦν σοι ἐν τῷ συλλόγῳ οὐκ ἀποκρύψομαι, ὡς ἀκρι-
βῶς ἄρα ἐξήτασας καὶ ἐπεσκέψω τὴν μορφὴν καὶ τὴν φύσιν
τοῦ Ἔρωτος, ὅτι οὐχ οἷος τοῖς πολλοῖς δοκεῖ τοιοῦτος καὶ τῷ
ὄντι ἐστί, νεὸς καὶ ἁπαλὸς καὶ ἁβρός, ἀλλὰ τοὐναντίον σκλη- D
ρὸς καὶ αὐχμηρὸς καὶ θυραυλῶν ἐπὶ θύραις καὶ ἐν ὑπαίθρῳ
τὰ πολλὰ καὶ ἐν ὁδοῖς διαιτώμενος καὶ ἐπιθυμητὴς ἀεὶ τοῦ
καλοῦ καὶ ἀγαθοῦ, καὶ ἴτης ἐπὶ τούτοις, σύντονος, θηρευτής,
δεινῶς πλέκων μηχανὰς ἐπὶ τῇ θήρᾳ, καὶ ἔτι φρόνιμος καὶ
ἀεὶ φιλοσοφῶν. ὧν τὰ μὲν ἐκ τοῦ πατρὸς τοῦ Πόρου αὐτοῦ
παραγένεται, τὰ δὲ ἐκ τῆς μητρὸς Πενίας. ταῦτα δή σου
ἀκούων ἐκ μειρακίου μοι ἐπᾴδοντος καὶ παιδεύοντος, καὶ ὅτι
ἄλλο μὲν τὸ ἐραστόν, ἄλλο δὲ ὁ ἔρως, καὶ ἐκεῖ μὲν δεῖ ζητεῖν 163
τὴν νεότητα καὶ τὴν καλλονὴν καὶ τὸ ἀνενδεὲς καὶ τὸ πλῆρες,
τὸν δὲ ἔρωτα γινώσκειν ὅτι ἁπάντων τούτων ἐπιδεής· οὐ γὰρ
ἂν ἐφίετο αὐτῶν, εἴπερ εἶχε· ταῦτά σου ἀκούων τὸν ἄλλον
ἅπαντα χρόνον ἀντεμαντευόμην ὡς θαυμαστὰ εἴη καὶ μᾶλλον
ἀκόλουθα τὰ ἐκ τοῦ σοῦ λόγου, ὧν πείθουσιν ἡμᾶς οἱ ποιηταὶ
καὶ οἱ ζωγράφοι καὶ προσφυέστερα τῷ ἔρωτι καὶ τῶν ἐρώντων,
ἐμαυτῷ δὲ συμπεσόντα οὐδεπώποτε ἐνεώρων, ἀλλὰ παρήλλαξε B
τοσούτων ἐνιαυτῶν ἀριθμὸς ἐπαινέτην μὲν τῶν λεγομένων,
ἀπείρατον δὲ ὧν ἐπῄνουν.

*Plotin. enn. III, 5* περὶ δὲ τοῦ ὃν θεὸν τίθενται οὐ μόνον p. 292 F
οἱ ἄλλοι ἄνθρωποι, ἀλλὰ καὶ θεολόγοι καὶ Πλάτων πολλαχοῦ
Ἀφροδίτης Ἔρωτα λέγων καὶ ἔργον αὐτῷ εἶναι καλῶν τε ἔφο- G
ρον παίδων καὶ κινητικὸν τῶν ψυχῶν πρὸς τὸ ἐκεῖ κάλλος ἢ
καὶ ἐπαύξειν τὴν ἤδη γενομένην πρὸς τὸ ἐκεῖ ὁρμήν, περὶ τού- p. 293
του μάλιστα φιλοσοφητέον· καὶ δὴ καὶ ὅσα ἐν συμποσίῳ εἴ-
ρηται παραληπτέον ἐν οἷς οὐκ ⟨Ἀφροδίτης φησὶν αὐτὸν γενέσθαι,
ἀλλ' ἐν add. Kirchhoffius⟩ Ἀφροδίτης γενεθλίοις ἐκ τῆς Πενίας
καὶ τοῦ Πόρου. ἔοικε δὲ ὁ λόγος καὶ περὶ τῆς Ἀφροδίτης
ἀπαιτήσειν τι εἰπεῖν, εἴτ' οὖν ἐξ ἐκείνης εἴτε μετ' ἐκείνης γεγο-
νέναι λέγεται ὁ Ἔρως. πρῶτον οὖν τίς ἡ Ἀφροδίτη· εἶτα πῶς
ἢ ἐξ αὐτῆς ἢ σὺν αὐτῇ ἢ τίνα τρόπον ἔχει τὸν αὐτὸν τὸ ἐξ B
αὐτῆς τε ἅμα καὶ σὺν αὐτῇ. λέγομεν δὴ τὴν Ἀφροδίτην εἶναι

διττήν, τὴν μὲν οὐρανίαν Οὐρανοῦ λέγοντες εἶναι, τὴν δὲ ἐκ
Διὸς καὶ Διώνης, τὴν τῶν τῇδε ἐφαπτομένην ἔφορον γάμων·
ἀμήτορα δὲ ἐκείνην καὶ ἐπέκεινα γάμων, ὅτι μηδὲ ἐν οὐρανῷ
C γάμοι. τὴν δὲ οὐρανίαν λεγομένην ἐκ Κρόνου νοῦ ὄντος ἐκείνου
ἀνάγκη ψυχὴν θειοτάτην εἶναι εὐθὺς ἐξ αὐτοῦ ἀκήρατον ἀκηρά-
του μείνασαν ἄνω, ὡς μηδὲ εἰς τὰ τῇδε ἐλθεῖν μήτε ἐθελήσασαν
μήτε δυναμένην, ὅτι ἦν φύσεως μὴ κατὰ τὰ κάτω φῦσαν βαί-
νειν χωριστὴν οὖσάν τινα ὑπόστασιν καὶ ἀμέτοχον ὕλης οὐσίαν·
ὅθεν αὐτὴν τούτῳ ᾐνίττοντο, τῷ ἀμήτορα εἶναι· ἣν δὴ καὶ
D θεὸν ἄν τις δικαίως, οὐ δαίμονα εἴποι, ἄμικτον οὖσαν καὶ κα-
θαρὰν ἐφ' ἑαυτῆς μένουσαν. τὸ γὰρ εὐθὺς ἐκ νοῦ πεφυκὸς
καθαρὸν καὶ αὐτό, ἅτε ἰσχύον καθ' ἑαυτὸ τῷ ἐγγύθεν, ἅτε καὶ
τῆς ἐπιθυμίας οὔσης αὐτῇ καὶ τῆς ἱδρύσεως πρὸς τὸ γεννῆσαν
ἱκανὸν ὂν κατέχειν ἄνω. ὅθεν οὐδ' ἂν ἐκπέσοι ψυχὴ νοῦ ἐξηρ-
τημένη πολὺ μᾶλλον ἢ ἥλιος ἂν ἔχοι ἐξ αὐτοῦ ὅσον αὐτὸν πε-
ριλάμπει φῶς τὸ ἐξ αὐτοῦ εἰς αὐτὸν συνηρτημένον. ἐφεπο-
E μένη δὲ τῷ Κρόνῳ ἤ, εἰ βούλει, τῷ πατρὶ τοῦ Κρόνου Οὐ-
ρανῷ ἐνήργησέ τε πρὸς αὐτὸν καὶ ᾠκειώθη καὶ ἐρασθεῖσα
Ἔρωτα ἐγέννησε καὶ μετὰ τούτου πρὸς αὐτὸν βλέπει καὶ ἡ
ἐνέργεια αὐτῆς ὑπόστασιν καὶ οὐσίαν εἰργάσατο καὶ ἄμφω ἐκεῖ
βλέπει, καὶ ἡ γειναμένη καὶ ὁ καλὸς Ἔρως ὁ γεγεννημένος
ὑπόστασις πρὸς ἄλλο καλὸν ἀεὶ τεταγμένη καὶ τὸ εἶναι ἐν
F τούτῳ ἔχουσα μεταξὺ ὥσπερ ποθοῦντος καὶ ποθουμένου, ὀφ-
θαλμὸς ὁ τοῦ ποθοῦντος παρέχων μὲν τῷ ἐρῶντι δι' αὐτοῦ
⟨Kirchhoffius: αὐτοῦ codd.⟩ τὸ ὁρᾶν τὸ ποθούμενον, προτρέ-
χων δὲ αὐτὸς καὶ πρὶν ἐκείνῳ παρασχεῖν τὴν τοῦ ὁρᾶν δι' ὀρ-
γάνου δύναμιν αὐτὸς πιμπλάμενος τοῦ θεάματος, πρότερος μέν,
οὐ μὴν ὁμοίως ὁρῶν τῷ ἐνστηρίζειν μὲν ἐκείνῳ τὸ ὅραμα,
αὐτὸν δὲ καρποῦσθαι τὴν θέαν τοῦ καλοῦ αὐτὸν παραθέουσαν.
G Ὑπόστασιν δὲ εἶναι καὶ οὐσίαν ἐξ οὐσίας ἐλάττω μὲν τῆς
ποιησαμένης, οὖσαν δὲ ὅμως, ἀπιστεῖν οὐ προσήκει. καὶ γὰρ
ἡ ψυχὴ ἐκείνη οὐσία ἦν γενομένη ἐξ ἐνεργείας τῆς πρὸ αὐτῆς
p. 294 καὶ ζῶσα καὶ τῆς τῶν ὄντων οὐσίας καὶ πρὸς ἐκεῖνο ὁρώσης,
ὃ πρώτη ἦν οὐσία, καὶ σφόδρα ὁρώσης. καὶ πρῶτον ἦν ὅραμα
αὐτῇ τοῦτο καὶ ἑώρα ὡς πρὸς ἀγαθὸν αὐτῆς καὶ ἔχαιρεν ὁρῶσα,
καὶ τὸ ὅραμα τοιοῦτον ἦν, ὡς μὴ πάρεργον τὴν θέαν ποιεῖσθαι
τὸ ὁρῶν, ὡς τῇ οἷον ἡδονῇ καὶ τάσει τῇ πρὸς αὐτὸ καὶ σφο-
δρότητι τῆς θέας γεννῆσαί τι παρ' αὐτῆς ἄξιον αὐτῆς καὶ τοῦ
ὁράματος. ἐξ οὖν τοῦ ἐνεργοῦντος συντόνως περὶ τὸ ὁρώμενον
B καὶ ἐκ τοῦ οἷον ἀπορρέοντος ἀπὸ τοῦ ὁρωμένου ὄμμα πληρω-



θέν, οἷον μετ' εἰδώλου ὅρασις, Ἔρως ἐγένετο τάχα που καὶ
τῆς προσηγορίας ἐντεῦθεν μᾶλλον αὐτῷ γεγενημένης, ὅτι ἐξ
ὁράσεως τὴν ὑπόστασιν ἔχει· ἐπεὶ τό γε πάθος ἀπὸ τούτου
ἔχοι ἂν τὴν ἐπωνυμίαν, εἴπερ πρότερον οὐσία μὴ οὐσίας, καί-
τοι τό γε πάθος ἐρᾶν λέγεται καὶ εἴπερ ἔρως αὐτὸν ἔχει τοῦδε·
ἁπλῶς δὲ οὐκ ἂν λέγοιτο ἔρως. ὁ μὲν δὴ τῆς ἄνω ψυχῆς Ἔρως C
τοιοῦτος ἂν εἴη, ὁρῶν καὶ αὐτὸς ἄνω, ἅτε ὀπαδὸς ὢν ἐκείνης
καὶ ἐξ ἐκείνης καὶ παρ' ἐκείνης γεγενημένος καὶ θεῶν ἀρκού-
μενος θέᾳ. χωριστὴν δὲ ἐκείνην τὴν ψυχὴν λέγοντες τὴν πρώ-
τως ἐλλάμπουσαν τῷ Οὐρανῷ χωριστὸν καὶ τὸν Ἔρωτα τοῦτον
θησόμεθα, εἰ καὶ ὅτι μάλιστα οὐρανίαν τὴν ψυχὴν εἴπομεν·
ἐπεὶ καὶ ἐν ἡμῖν λέγοντες τὸ ἐν ἡμῖν ἄριστον εἶναι χωριστὸν D
ὅμως τιθέμεθα αὐτὸ εἶναι· μόνον ἐκεῖ ἔστω, οὗ ἡ ψυχὴ ἡ
ἀκήρατος. ἐπεὶ δὲ καὶ τοῦδε τοῦ παντὸς ψυχὴν εἶναι ἔδει,
ὑπέστη μετὰ ταύτης ἤδη καὶ ὁ ἄλλος Ἔρως ὄμμα καὶ ταύτης
ἐξ ὀρέξεως καὶ αὐτὸς ⟨Kirchhoffius: αὐτῆς codd.⟩ γεγενημέ-
νος. τοῦ δὲ κόσμου οὖσα ἡ Ἀφροδίτη αὕτη ⟨Kirchhoffius:
αὐτὴ codd.⟩ καὶ οὐ μόνον ψυχὴ οὐδὲ ἁπλῶς ψυχὴ καὶ τὸν E
ἐν τῷδε τῷ κόσμῳ Ἔρωτα ἐγεννήσατο ἐφαπτόμενον ἤδη καὶ
αὐτὸν γάμων καί, καθ' ὅσον ἐφάπτεται καὶ αὐτὸς τῆς ὀρέξεως
τῆς ἄνω, κατὰ τοσοῦτον κινοῦντα καὶ τὰς τῶν νέων ψυχὰς καὶ
τὴν ψυχὴν ᾗ συντέτακται ἀναστρέφοντα, καθ' ὅσον καὶ αὐτὴ
εἰς μνήμην ἐκείνων πέφυκεν ἰέναι. πᾶσα γὰρ ἐφίεται τοῦ ἀγα-
θοῦ καὶ ἡ μεμιγμένη καὶ ἥ τινος γενομένη· ἐπεὶ καὶ αὕτη
ἐφεξῆς ἐκείνῃ καὶ ἐξ ἐκείνης.
Ἆρ' οὖν καὶ ἑκάστη ψυχὴ ἔχει ἔρωτα τοιοῦτον ἐν οὐσίᾳ F
καὶ ὑποστάσει; ἢ διὰ τί ἡ μὲν ὅλη ἕξει καὶ ἡ τοῦ παντὸς ὑπο-
στάντα τὸν ἔρωτα, ἡ δὲ ἑκάστου ἡμῶν οὔ; πρὸς δὲ καὶ ἡ ἐν
τοῖς ἄλλοις ζῴοις ἅπασι; καὶ ἆρα ὁ ἔρως οὗτός ἐστιν ὁ δαί-
μων, ὅν φασιν ἑκάστῳ συνέπεσθαι, ὁ αὐτοῦ ἑκάστου ἔρως.
οὗτος γὰρ ἂν εἴη καὶ ὁ ἐμποιῶν τὰς ἐπιθυμίας κατὰ φύσιν
ἑκάστης τῆς ψυχῆς ὀριγνωμένης ἀνάλογον ἑκάστης πρὸς τὴν
αὑτῆς φύσιν καὶ τὸν ἔρωτα γεννώσης εἴς τε ἀξίαν καὶ πρὸς G
οὐσίαν. ἐχέτω δὴ ἡ μὲν ὅλη ὅλον, αἱ δὲ ἐν μέρει τὸν αὑτῆς
ἑκάστη. καθ' ὅσον δὲ ἑκάστη πρὸς τὴν ὅλην ἔχει οὐκ ἀποτε-
τμημένη, ἐμπεριεχομένη δέ, ὡς εἶναι πάσας μίαν, καὶ ὁ ἔρως
ἕκαστος πρὸς τὸν πάντα ἂν ἔχοι· συνεῖναι δ' αὖ καὶ τὸν ἐν p. 295
μέρει τῇ ἐν μέρει καὶ τῇ ὅλῃ τὸν μέγαν ἐκεῖνον καὶ τὸν ἐν τῷ
παντὶ τῷ παντὶ πανταχοῦ αὐτοῦ καὶ πολλοὺς αὖ τὸν ἕνα τοῦ-
τον γίγνεσθαι καὶ εἶναι φαινόμενον πανταχοῦ τοῦ παντὸς οὗ

ἂν θέλῃ σχηματιζόμενον μέρεσιν ἑαυτοῦ καὶ φανταζόμενον, εἰ
θέλοι. οἴεσθαι δὲ χρὴ καὶ Ἀφροδίτας ἐν τῷ ὅλῳ πολλάς, δαί-
B μονας ἐν αὐτῷ γενομένας μετ' ἔρωτος, ῥυείσας ἐξ Ἀφροδίτης
τινὸς ὅλης, ἐν μέρει πολλὰς ἐκείνης ἐξηρτημένας μετὰ ἰδίων
ἐρώτων, εἴπερ ψυχὴ μήτηρ ἔρωτος, Ἀφροδίτη δὲ ψυχή, ἔρως
δὲ ἐνέργεια ψυχῆς ἀγαθοῦ ὀριγνωμένης. ἄγων τοίνυν ἑκάστην
οὗτος ὁ ἔρως πρὸς τὴν ἀγαθοῦ φύσιν ὁ μὲν τῆς ἄνω θεὸς ἂν
εἴη, ὃς ἀεὶ ψυχὴν ἐκείνῳ συνάπτει, δαίμων δ' ὁ τῆς μεμιγ-
μένης.

C Ἀλλὰ τίς ἡ δαίμονος καὶ ὅλως ἡ δαιμόνων φύσις, περὶ ἧς
καὶ ἐν συμποσίῳ λέγεται, ἥ τε τῶν ἄλλων καὶ ἡ αὐτοῦ τοῦ
Ἔρωτος, ὃς ⟨Kirchhoffius: ὡς codd.⟩ ἐκ Πενίας καὶ Πόρου ⟨τοῦ
add. Boissonadius ad Procl. in Crat. p. 76⟩ Μήτιδός ἐστι γεγεν-
νημένος ἐν τοῖς Ἀφροδίτης γενεθλίοις; τὸ μὲν οὖν τὸν κόσμον
ὑπονοεῖν λέγεσθαι τόνδε τῷ Πλάτωνι τὸν Ἔρωτα, ἀλλὰ μὴ τοῦ
κόσμου τὸν ἐν αὐτῷ ἐκφύντα Ἔρωτα, πολλὰ τὰ ἐναντιούμενα
τῇ δόξῃ ἔχει, τοῦ μὲν κόσμου λεγομένου εὐδαίμονος θεοῦ καὶ
D αὐτάρκους εἶναι, τοῦ δὲ Ἔρωτος τούτου ὁμολογουμένου τῷ
ἀνδρὶ οὔτε θεοῦ οὔτε αὐτάρκους, ἀεὶ δὲ ἐνδεοῦς εἶναι. εἶτα
ἀνάγκη, εἴπερ ὁ κόσμος ἐστὶν ἐκ ψυχῆς καὶ σώματος, ἡ δὲ
ψυχὴ τοῦ κόσμου ἡ Ἀφροδίτη ἐστὶν αὐτῷ, μέρος τὸ κύριον τοῦ
Ἔρωτος τὴν Ἀφροδίτην εἶναι· ἤ, εἰ κόσμος ἡ ψυχή ἐστιν αὐ-
τοῦ, ὥσπερ καὶ ἄνθρωπος ἡ ἀνθρώπου ψυχή, τὸν Ἔρωτα τὴν
E Ἀφροδίτην εἶναι. εἶτα διὰ τί οὗτος μὲν δαίμων ὢν ὁ κόσμος
ἔσται, οἱ δὲ ἄλλοι δαίμονες· δῆλον γὰρ ὅτι ἐκ τῆς αὐτῆς οὐ-
σίας εἰσίν· οὐ καὶ αὐτοὶ ἔσονται; καὶ ὁ κόσμος ἔσται σύστασις
αὐτὸ τοῦτο ἐκ δαιμόνων. ὁ δὲ ἔφορος καλῶν παίδων λεχθεὶς
εἶναι πῶς ἂν ὁ κόσμος εἴη; τὸ δὲ ἄστρωτον καὶ ἀνυπόδητον
καὶ ἄοικον πῶς ἂν ἐφαρμόσειε μὴ οὐ γλίσχρως καὶ ἀπᾳδόντως;

F Ἀλλὰ τί δὴ χρὴ λέγειν περὶ τοῦ Ἔρωτος καὶ τῆς λεγομέ-
νης γενέσεως αὐτοῦ; δῆλον δὴ ὅτι δεῖ λαβεῖν τίς ἡ Πενία καὶ
τίς ὁ Πόρος καὶ πῶς ἁρμόσουσιν οὗτοι γονεῖς εἶναι αὐτῷ.
δῆλον δὲ ὅτι δεῖ καὶ τοῖς ἄλλοις δαίμοσι τούτους ἁρμόσαι, εἴ-
περ δεῖ φύσιν εἶναι καὶ οὐσίαν μίαν καθὸ δαίμονες δαιμόνων,
εἰ μὴ κοινὸν ὄνομα ἕξουσι μόνον. λάβωμεν τοίνυν πῇ ποτε
G διορίζομεν θεοὺς δαιμόνων καὶ εἰ πολλάκις καὶ δαίμονας θεοὺς
λέγομεν εἶναι, ἀλλ' ὅταν γε τὸ μὲν ἕτερον, τὸ δὲ ἕτερον λέ-
γωμεν αὐτῶν εἶναι γένος. τὸ μὲν δὴ θεῶν ἀπαθὲς λέγομεν
καὶ νομίζομεν γένος, δαίμοσι δὲ προστίθεμεν πάθη ἀιδίους λέ-
p. 296 γοντες, ἐφεξῆς τοῖς θεοῖς, ἤδη πρὸς ἡμᾶς, μεταξὺ θεῶν τε καὶ



τοῦ ἡμετέρου γένους. πῇ δὴ οὖν οὐκ ἔμειναν ἀπαθεῖς οὗτοι,
πῇ δὲ κατέβησαν τῇ φύσει πρὸς τὸ χεῖρον; καὶ δὴ καὶ τοῦτο
σκεπτέον, πότερα δαίμων ἐν τῷ νοητῷ οὐδὲ εἷς καὶ αὖ ἐν τῷ
κόσμῳ τούτῳ δαίμονες μόνον, θεὸς δὲ ἐν τῷ νοητῷ ἀφορίζε-
ται, ἢ εἰσὶ καὶ ἐνταῦθα θεοὶ καὶ ὁ κόσμος θεός, ὥσπερ σύ-
νηθες λέγειν, τρίτος καὶ οἱ μέχρι σελήνης ἕκαστος θεός. βέλ-
τιον δὲ μηδένα ἐν τῷ νοητῷ δαίμονα λέγειν, ἀλλά, καὶ εἰ αὐτο- B
δαίμων, θεὸν καὶ τοῦτον εἶναι, καὶ αὖ ἐν τῷ αἰσθητῷ τοὺς
μέχρι σελήνης θεοὺς τοὺς ὁρατοὺς θεοὺς δευτέρους μετ' ἐκεί-
νους καὶ κατ' ἐκείνους τοὺς νοητούς, ἐξηρτημένους ἐκείνων,
ὥσπερ αἴγλην περὶ ἕκαστον ἄστρον. τοὺς δὲ δαίμονας τί; ἆρά
γε ψυχῆς ἐν κόσμῳ γενομένης τὸ ἀφ' ἑκάστης ἴχνος; διὰ τί δὲ
τῆς ἐν κόσμῳ; ὅτι ἡ καθαρὰ θεὸν γεννᾷ καὶ θεὸν ἔφαμεν τὸν C
ταύτης ἔρωτα. πρῶτον δὴ διὰ τί οὐ πάντες οἱ δαίμονες ἔρω-
τες; εἶτα πῶς οὐ καθαροὶ καὶ οὗτοι ὕλης; ἢ ἔρωτες μὲν οἳ
γεννῶνται ψυχῆς ἐφιεμένης τοῦ ἀγαθοῦ καὶ καλοῦ καὶ γεννῶσι
πᾶσαι τοῦτον τὸν δαίμονα αἱ ἐν τῷδε, οἱ δὲ ἄλλοι δαίμονες
ἀπὸ ψυχῆς μὲν καὶ οὗτοι τῆς τοῦ παντός, δυνάμεσι δὲ ἑτέραις
γεννώμενοι κατὰ χρείαν τοῦ ὅλου συμπληροῦσι καὶ συνδιοικοῦσι
⟨Kirchhoffius: συμπληροῦσαν καὶ συνδιοικοῦσαν codd.⟩ τῷ
παντὶ ἕκαστα. ἔδει γὰρ ἀρκεῖν τὴν ψυχὴν τοῦ παντὸς τῷ D
παντὶ γεννήσασαν δυνάμεις δαιμόνων καὶ προσφόρους τῷ ἑαυ-
τῆς ὅλῳ. ἀλλὰ πῶς καὶ τίνος ὕλης μετέχουσιν; οὐ γὰρ δὴ τῆς
σωματικῆς ἢ ζῷα αἰσθητὰ ἔσται. καὶ γὰρ εἰ σώματα προσλαμ-
βάνουσιν ἀέρινα ἢ πύρινα, ἀλλὰ δεῖ γε πρότερον διάφορον αὐ-
τῶν τὴν φύσιν εἶναι, ἵνα καὶ μετάσχωσι σώματος· οὐ γὰρ εὐ- E
θὺς τὸ καθαρὸν πάντῃ σώματι μίγνυται, καίτοι πολλοῖς δοκεῖ
ἡ οὐσία τοῦ δαίμονος καθ' ὅσον δαίμων μετά τινος σώματος,
ἢ ἀέρος ἢ πυρός, εἶναι. ἀλλὰ διὰ τί ἡ μὲν σώματι μίγνυται,
ἡ δὲ οὔ, εἰ μή τις εἴη τῇ μιγνυμένῃ αἰτία; τίς οὖν ἡ αἰτία;
ὕλην δεῖ νοητὴν ὑποθέσθαι, ἵνα τὸ κοινωνῆσαν ἐκείνης ἥκῃ καὶ
εἰς ταύτην τὴν τῶν σωμάτων δι' αὐτῆς.

Διὸ καὶ ἐν τῇ γενέσει τοῦ Ἔρωτος ὁ Πλάτων φησὶ τὸν F
Πόρον τὴν μέθην ἔχειν τοῦ νέκταρος, οἴνου οὔπω ὄντος, ὡς
πρὸ τοῦ αἰσθητοῦ τοῦ Ἔρωτος γενομένου καὶ τῆς Πενίας με-
τεχούσης φύσεως νοητοῦ, ἀλλ' οὐκ εἰδώλου νοητοῦ οὐδ' ἐκεῖθεν
ἐμφαντασθέντος, ἀλλ' ἐκεῖ γενομένης καὶ συμμιχθείσης, ὡς ἐξ
εἴδους καὶ ἀοριστίας, ἣν ἔχει ⟨Kirchhoffius: ἔχουσα codd.⟩ ἡ
ψυχὴ πρὶν τυχεῖν τοῦ ἀγαθοῦ, μαντευομένη δέ τι εἶναι κατὰ G
ἀόριστον καὶ ἄπειρον φάντασμα, τὴν ὑπόστασιν τοῦ Ἔρωτος

p. 297 τεκούσης. λόγος οὖν γενόμενος ἐν οὐ λόγῳ, ἀορίστῳ δὲ ἐφέ-
σει καὶ ὑποστάσει ἀμυδρᾷ, ἐποίησε τὸ γενόμενον οὐ τέλειον
οὐδὲ ἱκανόν, ἐλλιπὲς δέ, ἅτε ἐξ ἐφέσεως ἀορίστου καὶ λόγου
ἱκανοῦ γεγενημένον. καὶ ἔστι λόγος οὗτος οὐ καθαρός, ἅτε
ἔχων ἐν αὐτῷ ἔφεσιν ἀόριστον καὶ ἄλογον καὶ ἄπειρον· οὐ γὰρ
μήποτε πληρώσεται, ἕως ἂν ἔχῃ ἐν αὐτῷ τὴν τοῦ ἀορίστου
φύσιν. ἐξήρτηται δὲ ψυχῆς ὡς ἐξ ἐκείνης μὲν γενόμενος ὡς
B ἀρχῆς, μῖγμα δὲ ὢν ἐκ λόγου οὐ μείναντος ἐν αὐτῷ, ἀλλὰ μι-
χθέντος ἀοριστίᾳ, οὐκ αὐτοῦ ἀνακραθέντος ἐκείνῃ, ἀλλὰ τοῦ ἐξ
αὐτοῦ ἐκείνῃ. καὶ ἔστιν ὁ ἔρως οἷον οἶστρος τῇ ἑαυτοῦ φύ-
σει· διὸ καὶ τυγχάνων ἄπορος πάλιν. οὐ γὰρ ἔχει πληροῦσθαι
διὰ τὸ μὴ ἔχειν τὸ μῖγμα· μόνον γὰρ πληροῦται ἀληθῶς ὅτι-
C περ καὶ πεπλήρωται τῇ ἑαυτοῦ φύσει· ὁ δὲ διὰ τὴν συνοῦσαν
ἔνδειαν ἐφίεται, κἂν παραχρῆμα πληρωθῇ, οὐ στέγει· ἐπεὶ καὶ
τὸ ἀμήχανον ⟨Kirchhoffius: εὐμήχανον codd.⟩ αὐτῷ διὰ τὴν
ἔνδειαν, τὸ δὲ ποριστικὸν διὰ τὴν τοῦ λόγου φύσιν. δεῖ δὲ καὶ
πᾶν τὸ δαιμόνιον τοιοῦτον νομίζειν καὶ ἐκ τοιούτων· καὶ γὰρ
ἕκαστον ἐφ' ᾧ τέτακται ποριστικὸν ἐκείνου καὶ ἐφιέμενον ἐκεί-
νου καὶ συγγενὲς καὶ ταύτῃ τῷ Ἔρωτι καὶ οὐ πλῆρες οὐδ'
D αὐτό, ἐφιέμενον δέ τινος τῶν ἐν μέρει ὡς ἀγαθῶν· ὅθεν καὶ
τοὺς ἐνταῦθα ἀγαθοὺς ὃν ἔχουσιν ἔρωτα τοῦ ἁπλῶς ἀγαθοῦ
καὶ τοῦ ὄντως ἔχειν οὐκ ἐρωτά τινα ἔχοντας, τοὺς δὲ κατ' ἄλ-
λους δαίμονας τεταγμένους· κατ' ἄλλον δὲ ἄλλον δαίμονα τετά-
χθαι· ὃν ἁπλῶς εἶχον ἀργὸν ἀφέντας, ἐνεργοῦντας δὲ κατ'
ἄλλον δαίμονα, ὃν εἵλοντο κατὰ τὸ σύμφωνον μέρος τοῦ ἐνερ-
γοῦντος ἐν αὐτοῖς ⟨ψυχῆς add. codd. del. Kirchhoffius⟩. οἱ
E δὲ κακῶν ἐφιέμενοι ταῖς κακαῖς ἐγγενομέναις ἐπιθυμίαις ἐπέ-
δησαν πάντας τοὺς ἐν αὐτοῖς ἔρωτας, ὥσπερ καὶ λόγον τὸν
ὀρθόν, ὅστις σύμφυτος, κακαῖς ταῖς ἐπιγενομέναις δόξαις. οἱ
μὲν οὖν φύσει ἔρωτες καὶ κατὰ φύσιν καλοί· καὶ οἱ μὲν ἐλάτ-
τονος ψυχῆς ἐλάττους εἰς ἀξίαν καὶ δύναμιν, οἱ δὲ κρείττους
F πάντες ἐν οὐσίᾳ· οἱ δὲ παρὰ φύσιν σφαλέντων πάθη ταῦτα
καὶ οὐδαμῇ οὐσία οὐδὲ ὑποστάσεις οὐσιώδεις οὐ παρὰ ψυχῆς
ἔτι γεννώμενα, ἀλλὰ συνυφιστάμενα κακίᾳ ψυχῆς ὅμοια γεννώ-
σης ἐν διαθέσεσι καὶ ἕξεσιν ἤδη. καὶ γὰρ ὅλως κινδυνεύει τὰ
μὲν ἀγαθὰ τὰ ἀληθῆ κατὰ φύσιν ψυχῆς ἐνεργούσης ἐν ὡρισμέ-
G νοις οὐσία εἶναι, τὰ δ' ἄλλα οὐκ ἐξ αὐτῆς ἐνεργεῖν, οὐδὲν δ'
ἄλλο ἢ πάθη εἶναι· ὥσπερ ψευδῆ νοήματα οὐκ ἔχοντα τὰς ὑπ'
αὐτὰ οὐσίας, καθάπερ τὰ ἀληθῆ ὄντως καὶ ἀίδια καὶ ὡρισμένα
p. 298 ὁμοῦ τὸ νοεῖν καὶ τὸ νοητὸν καὶ τὸ εἶναι ἔχοντα οὐ μόνον ἐν



τῷ ἁπλῶς, ἀλλὰ καὶ ἐν ἑκάστῳ περὶ τὸ νοητὸν ὄντως * * καὶ
νοῦν τὸν ἐν ἑκάστῳ εἴδει καὶ ἐν ἑκάστῳ ἡμῶν τίθεσθαι καθα-
ρῶς νόησιν καὶ νοητὸν καὶ μὴ ὁμοῦ καὶ ἡμῶν τοῦτο καὶ ἁπλῶς.
ὅθεν καὶ τῶν ἁπλῶν ἡμῖν ὁ ἔρως· καὶ γὰρ αἱ νοήσεις· καὶ εἴ
τινος τῶν ἐν μέρει, κατὰ συμβεβηκός, ὥσπερ εἰ τόδε τὸ τρί-
γωνον δύο ὀρθὰς θεωρεῖ καθ' ὅσον ἁπλῶς τρίγωνον. B

Ἀλλὰ τίς ὁ Ζεύς, οὗ τὸν κῆπον λέγει, εἰς ὃν εἰσῆλθεν ὁ
Πόρος, καὶ τίς ὁ κῆπος οὗτος; ἡ μὲν γὰρ Ἀφροδίτη ψυχὴ ἦν
ἡμῖν, λόγος δὲ ἐλέγετο τῶν πάντων ὁ Πόρος. ταῦτα δὲ τί δεῖ
τίθεσθαι, τὸν Δία καὶ τὸν κῆπον αὐτοῦ; οὐδὲ γὰρ ψυχὴν δεῖ
τίθεσθαι τὸν Δία τὴν Ἀφροδίτην τοῦτο θέντας. δεῖ δὴ λαβεῖν
καὶ ἐνταῦθα παρὰ Πλάτωνος τὸν Δία ἐκ μὲν Φαίδρου ⟨p. 246 E⟩ C
ἡγεμόνα μέγαν λέγοντες αὐτοῦ τοῦτον τὸν θεόν, ἐν ἄλλοις
⟨Tim. p. 40 E⟩ δὲ τρίτον, οἶμαι, τοῦτον· σαφέστερον δὲ ἐν
τῷ Φιλήβῳ ⟨p. 28 C⟩, ἡνίκ' ἂν φῇ ἐν τῷ Διὶ εἶναι βασιλικὴν
μὲν ψυχήν, βασιλικὸν δὲ νοῦν. εἰ οὖν ὁ Ζεὺς νοῦς ἐστι μέγας
καὶ ψυχὴ καὶ ἐν τοῖς αἰτίοις τάττεται, κατὰ δὲ τὸ κρεῖττον δεῖ
τάττειν διά τε τὰ ἄλλα καὶ ὅτι αἴτιον καὶ τὸ βασιλικὸν δὲ καὶ D
τὸ ἡγούμενον, ὁ μὲν ἔσται κατὰ τὸν νοῦν, ἡ δὲ Ἀφροδίτη αὐ-
τοῦ οὖσα καὶ ἐξ αὐτοῦ καὶ σὺν αὐτῷ κατὰ τὴν ψυχὴν τετάξεται
κατὰ τὸ καλὸν καὶ ἀγλαὸν καὶ τὸ τῆς ψυχῆς ἄκακον καὶ ἁβρὸν
Ἀφροδίτη λεχθεῖσα. καὶ γὰρ εἰ κατὰ μὲν τὸν νοῦν τοὺς ἄρ-
ρενας τάττομεν τῶν θεῶν, κατὰ δὲ τὰς ψυχὰς αὐτῶν τὰς θη-
λείας λέγομεν, ὡς νῷ ἑκάστῳ ψυχῆς συνούσης, εἴη ἂν καὶ ταύτῃ E
ἡ ψυχὴ τοῦ Διὸς ἡ Ἀφροδίτη πάλιν μαρτυρούντων τούτῳ τῷ
λόγῳ ἱερέων τε καὶ θεολόγων, οἳ εἰς ταὐτὸν Ἥραν καὶ Ἀφρο-
δίτην ἄγουσι καὶ τὸν τῆς Ἀφροδίτης ἀστέρα ἐν οὐρανῷ Ἥρας
λέγουσιν.

Ὁ οὖν Πόρος λόγος ὢν τῶν ἐν τῷ νοητῷ καὶ νῷ καὶ μᾶλ-
λον κεχυμένος καὶ οἷον ἁπλωθεὶς περὶ ψυχὴν ἂν γένοιτο καὶ
ἐν ψυχῇ. τὸ γὰρ ἐν νῷ συνεσπειραμένον καὶ οὐ παρὰ ἄλλου F
εἰς ταὐτὸν * * * τούτῳ δὲ μεθύοντι ἐπακτὸν τὸ τῆς πλη-
ρώσεως. τὸ δ' ἐκεῖ πληρούμενον ⟨Kirchhoffius: πληροῦν codd.⟩
τοῦ νέκταρος τί ἂν εἴη ἢ λόγος ἀπὸ κρείττονος ἀρχῆς πεσὼν
εἰς ἐλάττονα; ἐν οὖν τῇ ψυχῇ ἀπὸ νοῦ ὁ λόγος οὗτος, ὅτε ἡ
Ἀφροδίτη λέγεται γεγονέναι εἰσρυεὶς εἰς τὸν κῆπον αὐτοῦ. κῆ-
πος δὲ πᾶς ἀγλάισμα καὶ πλούτου ἐγκαλλώπισμα. ἀγλαΐζεται G
δὲ τῷ τοῦ Διὸς λόγῳ καὶ τὰ καλλωπίσματα αὐτοῦ, τὰ παρὰ
τοῦ νοῦ αὐτοῦ εἰς τὴν ψυχὴν ἐλθόντα ἀγλαΐσματα. ἢ τί ἂν p. 299
εἴη ὁ κῆπος τοῦ Διὸς ἢ τὰ ἀγάλματα αὐτοῦ καὶ τὰ ἀγλαΐσματα;

τί δ' ἂν εἴη τὰ ἀγλαίσματα αὐτοῦ καὶ τὰ κοσμήματα ἢ οἱ λό-
γοι οἱ παρ' αὐτοῦ ῥυέντες; ὁμοῦ δὴ ⟨Kirchhoffius: δὲ codd.⟩
οἱ λόγοι, ὁ Πόρος, ἡ εὐπορία καὶ ὁ πλοῦτος τῶν καλῶν ἐν
ἐκφάνσει ἤδη καὶ τοῦτό ἐστι τὸ μεθύειν τῷ νέκταρι. τί γὰρ
B θεοῖς νέκταρ ἢ ὃ τὸ θεῖον κομίζεται; κομίζεται δὲ τὸ ὑποβε-
βηκὸς νοῦ λόγον· νοῦς δὲ ἑαυτὸν ἔχει ἐν κόρῳ καὶ οὐ μεθύει
ἔχων· οὐ γὰρ ἐπακτόν τι ἔχει. ὁ δὲ λόγος νοῦ γέννημα καὶ
ὑπόστασις μετὰ νοῦν καὶ οὐκέτι αὐτοῦ ὤν, ἀλλ' ἐν ἄλλῳ, ἐν
τῷ τοῦ Διὸς κήπῳ λέγεται κεῖσθαι τότε κείμενος, ὅτε ἡ Ἀφρο-
δίτη ἐν τοῖς οὖσιν ὑποστῆναι λέγεται. δεῖ δὲ τοὺς μύθους,
εἴπερ τοῦτο ἔσονται, καὶ μερίζειν χρόνοις ἃ λέγουσι καὶ διαι-
C ρεῖν ἀπ' ἀλλήλων πολλὰ τῶν ὄντων ὁμοῦ μὲν ὄντα, τάξει δὲ
ἢ δυνάμεσι διεστῶτα, ὅπου καὶ οἱ λόγοι καὶ γενέσεις τῶν
ἀγεννήτων ποιοῦσι καὶ τὰ ὁμοῦ ὄντα καὶ αὐτοὶ διαιροῦσι καὶ
διδάξαντες ὡς δύνανται τῷ νοήσαντι ἤδη συγχωροῦσι συναιρεῖν.
ἡ δὲ συναίρεσις ψυχὴ νῷ συνοῦσα καὶ παρὰ νοῦ ὑποστᾶσα καὶ
αὖ λόγων πληρωθεῖσα καὶ καλὴ καλοῖς κοσμηθεῖσα καὶ εὐπο-
D ρίας πληρωθεῖσα, ὡς εἶναι ἐν αὐτῇ ὁρᾶν πολλὰ ἀγλαίσματα
καὶ τῶν καλῶν ἁπάντων εἰκόνας. Ἀφροδίτη μέν ἐστι τὸ πᾶν,
οἱ δὲ ἐν αὐτῇ λόγοι πάντες εὐπορία καὶ Πόρος, ἀπὸ τῶν ἄνω
ῥυέντος ⟨Kirchhoffius: ῥυέντες codd.⟩ τοῦ ἐκεῖ νέκταρος· τὰ
δὲ ἐν αὐτῇ ἀγλαίσματα ὡς ἂν ἐν ζωῇ κείμενα κῆπος Διὸς λέ-
γεται καὶ εὕδειν ἐκεῖ ὁ Πόρος οἷς ἐπληρώθη βεβαρημένος.
E ζωῆς δὲ φανείσης καὶ οὔσης ἀεὶ ἐν τοῖς οὖσιν ἑστιᾶσθαι οἱ
θεοὶ λέγονται ὡς ἂν ἐν τοιαύτῃ μακαριότητι ὄντες. ἀεὶ δὲ
οὕτως ὑπέστη ὅδε ἐξ ἀνάγκης ἐκ τῆς ψυχῆς ἐφέσεως πρὸς τὸ
κρεῖττον καὶ τὸ ἀγαθὸν καὶ ἦν ἀεὶ ἐξ οὗπερ καὶ ψυχὴ ἔρως.
ἔστι δὲ οὗτος μικτόν τι χρῆμα μετέχον μὲν ἐνδείας ᾗ πληροῦ-
σθαι θέλει, οὐκ ἄμοιρον δὲ εὐπορίας ᾗ οὗ ἔχει τὸ ἐλλεῖπον
ζητεῖ· οὐ γὰρ δὴ τὸ πάμπαν ἄμοιρον τοῦ ἀγαθοῦ τὸ ἀγαθὸν
F ἄν ποτε ζητήσειεν. ἐκ Πόρου οὖν καὶ Πενίας λέγεται εἶναι, ᾗ
⟨Kirchhoffius: ἢ codd.⟩ ἡ ἔλλειψις καὶ ἡ ἔφεσις καὶ τῶν λό-
γων ἡ μνήμη ὁμοῦ συνελθόντα ἐν ψυχῇ ἐγέννησε τὴν ἐνέργειαν
τὴν πρὸς τὸ ἀγαθόν, ἔρωτα τοῦτον ὄντα. ἡ δὲ μήτηρ αὐτῷ
Πενία, ὅτι ἀεὶ ἡ ἔφεσις ἐνδεοῦς· ὕλη δὲ ἡ Πενία, ὅτι καὶ ἡ
G ὕλη ἐνδεὴς τὰ πάντα καὶ τὸ ἀόριστον τῆς τοῦ ἀγαθοῦ ἐπιθυ-
μίας· οὐ γὰρ μορφή τις οὐδὲ λόγος ἐν τῷ ἐφιεμένῳ τούτου·
ὑλικώτερον τὸ ἐφιέμενον καθ' ὅσον ἐφίεται ποιεῖ· τὸ δὲ πρὸς
αὐτὸ εἶδός ἐστι μόνον ἐν αὐτῷ μένον· καὶ δέξασθαι δὲ ἐφιέ-
p. 300 μενον ὕλην τῷ ἐπιόντι τὸ δεξόμενον παρασκευάζει. οὕτω τοι



ὁ Ἔρως ὑλικός τις ἐστι καὶ δαίμων οὗτός ἐστιν ἐκ ψυχῆς, καθ'
ὅσον ἐλλείπει τῷ ἀγαθῷ, ἐφίεται δέ, γεγενημένος.

*Plotin. enn. III, 6, 14* τί οὖν; μὴ οὔσης οὐδὲν ὑπέστη ἄν; p.317
ἢ οὐδὲ εἴδωλον κατόπτρου μὴ ὄντος ἢ τινος τοιούτου. τὸ γὰρ
ἐν ἑτέρῳ πεφυκὸς γίνεσθαι ἐκείνου μὴ ὄντος οὐκ ἂν γένοιτο·
τοῦτο γὰρ φύσις εἰκόνος τὸ ἐν ἑτέρῳ. εἰ μὲν γάρ τι ἀπείη
τῶν ποιούντων, καὶ ἄνευ τοῦ ἐν ἑτέρῳ ἦν ἄν. ἐπεὶ δὲ μένει B
ἐκεῖνα, εἰ ἐμφαντασθήσεται ἐν ἄλλῳ, δεῖ τὸ ἄλλο εἶναι ἕδραν
παρέχον τῷ οὐκ ἐλθόντι, τῇ δ' αὑτοῦ παρουσίᾳ καὶ τῇ τόλμῃ
καὶ οἷον προσαιτήσει καὶ πενίᾳ οἷον βιασάμενον λαβεῖν καὶ
ἀπατηθὲν τῇ οὐ λήψει, ἵνα μένῃ καὶ ἡ πενία καὶ ἀεὶ προς-
αιτῇ. ἐπεὶ γὰρ ἅπαξ ὑπέστη, ὁ μὲν μῦθος αὐτὴν ποιεῖ προς-
αιτοῦσαν ἐνδεικνύμενος αὐτῆς τὴν φύσιν ὅτι ἀγαθοῦ ἔρημος. C
αἰτεῖ τε ὁ προσαιτῶν οὐχ ἃ ἔχει ὁ διδούς, ἀλλ' ἀγαπᾷ ὅ τι ἂν
λάβῃ· ὥστε καὶ τοῦτο ἐνδείκνυσθαι, ὡς ἕτερον τὸ ἐν αὐτῇ φαν-
ταζόμενον, τό τ' ὄνομα ὡς οὐ πληρουμένης. τὸ δὲ τῷ πόρῳ
συγγίνεσθαι οὐ τῷ ὄντι δηλοῦντός ἐστι συγγίνεσθαι οὐδὲ τῷ
κόρῳ, ἀλλά τινι πράγματι εὐμηχάνῳ· τοῦτο δέ ἐστι τῇ σοφίᾳ
τοῦ φαντάσματος. ἐπεὶ γὰρ οὐχ οἷόν τε τοῦ ὄντος πάντῃ μὴ D
μετέχειν ὅ τι περ ὁπωσοῦν ἔξω ὂν αὐτοῦ ἐστιν· αὕτη γὰρ
⟨τοῦ add. Kirchhoffius⟩ ὄντος φύσις τὸ ⟨Kirchhoffius: τὰ
codd.⟩ ὄντα ποιεῖν· τὸ δὲ πάντῃ μὴ ὂν ἄμικτον τῷ ὄντι,
θαῦμα τὸ χρῆμα γίνεται πῶς μὴ μετέχον μετέχει καὶ πῶς
οἷον παρὰ τῆς γειτνιάσεως ἔχει τι, καίπερ τῇ αὑτοῦ φύ-
σει μὲν οἷον κολλᾶσθαι ἀδυνατοῦν. ἀπολισθαίνει οὖν ὡς ἂν
ἀπὸ φύσεως ἀλλοτρίας ὃ ἔλαβεν ἄν, οἷον ἠχὼ ἀπὸ τόπων λείων E
καὶ ὁμαλῶν· ὅτι μὴ μένει ἐκεῖ, τούτῳ καὶ ἐφαντάσθη ἐκεῖ κά-
κεῖθεν εἶναι. εἰ δ' ἦν μετασχοῦσα καὶ οὕτω δεξαμένη, ὥσπερ
τις ἀξιοῖ, καταποθὲν ἂν εἰς αὐτὴν τὸ προσελθὸν ἔδυ. νῦν δὲ
φαίνεται, ὅτι μὴ κατεπόθη, ἀλλ' ἔμεινεν ἡ αὐτὴ οὐδὲν δεξα-
μένη, ἀλλ' ἐπισχοῦσα τὴν πρόοδον ὡς ἕδρα ἀπωθουμένη καὶ εἰς
τὸ αὐτὸ τῶν προσιόντων κἀκεῖ μιγνυμένων ὑποδοχή, οἷον ὅσα
πρὸς ἥλιον πῦρ ζητοῦντες λαβεῖν ἱστᾶσι λεῖα, τὰ δὲ καὶ πλη- F
ροῦντες ὕδατος, ἵνα μὴ διέλθῃ κωλυομένη ὑπὸ τοῦ ἔνδον
ἐναντίου ἡ φλόξ, ἔξω δὲ συνίσταιτο. γίνεται οὖν αἰτία τῆς
γενέσεως οὕτω καὶ τὰ ἐν αὐτῇ συνιστάμενα τοιοῦτον συνίσταται
τρόπον.

*Procl. theol. plat. 28* ὥστε καὶ εἴ τινες γενέσεις ἐπὶ θεῶν
μυθικοῖς πλάσμασιν ὑπὸ τοῦ Πλάτωνος λέγοιντο, καθάπερ ἐν

τῷ μύθῳ τῆς Διοτίμας ἡ τῆς Ἀφροδίτης γένεσις ὕμνηται καὶ τοῦ Ἔρωτος ἐν γενεθλίοις Ἀφροδίτης ἀπογεννωμένου, δεῖ μὴ λανθάνειν ὅπως τὰ τοιαῦτα λέγεται, καὶ ὡς ἐνδείξεως ἕνεκα συμβολικῆς ταῦτα σύγκειται.

*Procl. in Plat. Crat. 119 p. 75* ὅτι εἰκότως οἱ ἥρωες ἔσχον τὴν ἐπωνυμίαν ἐκ τοῦ Ἔρωτος· εἴπερ ὁ μὲν Ἔρως δαίμων μέγας, συνεργούντων δὲ τῶν δαιμόνων οἱ ἥρωες τίκτονται, καὶ διότι ὁ Ἔρως ἐκ τοῦ Πόρου ἀμείνονος ὄντος καὶ τῆς Πενίας ὑποδοχῆς οὔσης καὶ χείρονος τεχθεὶς καὶ τοὺς ἥρωας ἀναλόγως ἐκ διαφερόντων παράγει γενῶν.

*Procl. in Alcib. I p. 236* ἡ μὲν οὖν Πενία ἡ ἐν ἡμῖν αἰτία τῆς ἀπορίας ἐστὶ καὶ Ἔρως ἐπὶ τὴν ζήτησιν ἐγείρει τῆς τελείας γνώσεως, ὁ δὲ Πόρος ἐν τῷ ὄντι καὶ τῆς ψυχῆς Μήτιδος ὢν υἱός. ἄνωθεν γὰρ πρόεισι τὸ οὐσιῶδες ἡμῶν ἀπὸ τοῦ θείου νοῦ, τὸ δὲ δυνάμει τὸ ἐν ἡμῖν ἡ πενία καὶ ἡ ἀοριστία τῆς ζωῆς. ὅταν οὖν ἐγερθῶμεν εἰς τὸν ἔρωτα τῆς ἑαυτῶν γνώσεως, τότε καὶ τὸν ἐν ἡμῖν πόρον θεώμεθα καὶ τὸν διάκοσμον ὅλον τὸν ψυχικόν.

*Hermias in Plat. Phaedr. p. 161* σύμφωνα δέ ἐστι τὰ λεγόμενα τοῖς λεχθεῖσιν ἐν τῷ συμποσίῳ περὶ τῆς γενέσεως τοῦ Ἔρωτος, ἔνθα ἔλεγεν ἐκ Πενίας καὶ Πόρου γεγενῆσθαι τὸν Ἔρωτα· ἐπειδὴ γὰρ οὐκ ἔστι τῶν εὐπόρων θεῶν τῶν ἀεὶ ἡνωμένων τοῖς πρώτοις αἰτίοις, οὔτε μὴν τῆς ὕλης καὶ τῆς ἐνδείας, ἀλλὰ τῶν μέσων, τὴν μεσότητα βουλόμενος αὐτοῦ ἐκφῆναι, ἐκ Πενίας καὶ Πόρου αὐτὸν εἶπε· καὶ ἐνταῦθα οὖν μικτήν τινα αὐτοῦ τὴν ἐνέργειαν παραδίδωσι τὴν ἐξ ἡδονῆς καὶ λύπης.

p. 189 *Origenes c. Cels. IIII, 39* φέρε, ἀντιπαραθῶμεν ἐκ τοῦ συμ-
ποσίου Πλάτωνος τὰ εἰρημένα περὶ τοῦ Ἔρωτος τῷ Σω-
κράτει καὶ ὡς σεμνότερα πάντων τῶν ἐν συμποσίῳ εἰπόντων
περὶ αὐτοῦ τῷ Σωκράτει περιτιθέντα. οὕτω δὲ ἔχει ἡ Πλά-
190 τωνος λέξις. ‘ὅτ’ ἐγένετο — — ἐν μέσῳ ἐστίν.’ ἆρα γὰρ οἱ
ἐντυγχάνοντες τούτοις, ἐὰν μὲν κακοήθειαν τοῦ Κέλσου μιμῶν-
ται, ὅπερ Χριστιανῶν ἀπείη, καταγελάσονται τὸν μῦθον καὶ
ἐν χλεύῃ θήσονται τὸν τηλικοῦτον Πλάτωνα· ἐὰν δὲ τὰ ἐν
μύθου σχήματι λεγόμενα φιλοσόφως ἐξετάζοντες δυνηθῶσιν
εὑρεῖν τὸ βούλημα τοῦ Πλάτωνος, τίνα τρόπον δεδύνηται τὰ
μεγάλα ἑαυτῷ φαινόμενα δόγματα κρύψαι μὲν διὰ τοὺς πολ-
λοὺς ἐν τῷ τοῦ μύθου σχήματι, εἰπεῖν δ’ ὡς ἐχρῆν τοῖς εἰδό-



σιν ἀπὸ μύθων εὑρίσκειν τὸ περὶ ἀληθείας τοῦ ταῦτα συντάξαντος βούλημα. τοῦτον δὲ τὸν παρὰ Πλάτωνι μῦθον ἐξεθέμην διὰ τὸν παρ’ αὐτῷ τοῦ Διὸς κῆπον, παραπλήσιόν τι ἔχειν δοκοῦντα τῷ παραδείσῳ τοῦ Θεοῦ, καὶ τὴν Πενίαν τῷ ἐκεῖ ὄφει παραβαλλομένην, καὶ τὸν ὑπὸ τῆς Πενίας ἐπιβουλευόμενον Πῶρον, τῷ ἀνθρώπῳ ἐπιβουλευομένῳ ὑπὸ τοῦ ὄφεως. οὐ πάνυ δὲ δῆλον, πότερον κατὰ συντυχίαν ἐπιπέπτωκε τούτοις ὁ Πλάτων, ἢ, ὡς οἴονταί τινες, ἐν τῇ εἰς Αἴγυπτον ἀποδημίᾳ συντυχὼν καὶ τοῖς τὰ Ἰουδαίων φιλοσοφοῦσι καὶ μαθών τινα πάρ’ αὐτῶν τὰ μέν [τινα] τετήρηκε, τὰ δὲ παρεποίησε φυλαξάμενος προσκόψαι τοῖς Ἕλλησιν ἐκ τοῦ πάντῃ τὰ τῆς Ἰουδαίων τηρῆσαι φιλοσοφίας διαβεβλημένων παρὰ τοῖς πολλοῖς διὰ τὸ ξενίζον τῶν νόμων καί τὴν ἰδιότροπον κατ’ αὐτοὺς πολιτείαν.

*Euseb. praep. euang. XII, 11* Μωσέως κατά τινας ἀπορρήτους λόγους ἐν ἀρχῇ τῆς τοῦ κόσμου συστάσεως θεοῦ τινα παράδεισον γεγονέναι φάντος, κἀν τούτῳ τὸν ἄνθρωπον ἠπατῆσθαι διὰ τῆς γυναικὸς πρὸς τοῦ ὄφεως· ἄντικρυς μονονουχὶ τὰ ῥήματα μεταποιήσας ὁ Πλάτων, ἐπάκουσον οἷα ἐν συμποσίῳ καὶ αὐτὸς ἀλληγορῶν τέθεικεν· ἀντὶ μὲν τοῦ παραδείσου τοῦ θεοῦ κῆπον Διὸς ὀνομάσας, ἀντὶ δὲ τοῦ ὄφεως καὶ τῆς πρὸς αὐτοῦ γενομένης ἀπατῆς Πενίαν ἐπιβουλεύουσαν ὑποθέμενος, ἀντὶ δὲ τοῦ πρώτου ἀνδρός, ὃν ἡ τοῦ θεοῦ μῆτίς τε καὶ πρόνοια υἱὸν ὥσπερ ἀρτιγενῆ περιβέβλητο, υἱὸν Μήτιδος Πόρον ἀποκαλέσας. ἀντὶ δὲ τοῦ φάναι ὁπηνίκα συνίστατο ὅδε ὁ κόσμος, ὅτε ἐγένετο ἡ Ἀφροδίτη εἰπών, οὕτω τὸν κόσμον ἀλληγορήσας τοῦ περὶ αὐτὸν κάλλους ἕνεκα. λέγει δ’ οὖν αὐτοῖς ῥήμασιν ὧδε. ‘ὅτε ἐγένετο ἡ Ἀφροδίτη — — τὸν Ἔρωτα’. τοιαῦτα μὲν δή τινα καὶ ἐν τούτοις ὁ Πλάτων ἐμφερῶς Μωσεῖ ὑπηνίξατο. — πάλιν εἰρηκότος Μωσέως· ‘τῷ δὲ Ἀδὰμ οὐκ ἦν βοηθὸς ὅμοιος αὐτῷ. καὶ ἐπέβαλεν ὁ θεὸς ἔκστασιν ἐπ’ αὐτόν, καὶ ἀφύπνωσε καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ καὶ ἀνεπλήρωσε σάρκα ἀντ’ αὐτῆς. καὶ ᾠκοδόμησε Κύριος ὁ θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ εἰς γυναῖκα’. μὴ συνεὶς ὁ Πλάτων ὁποίᾳ εἴρηται διανοίᾳ δῆλος μέν ἐστιν οὐκ ἀγνοήσας τὸν λόγον. Ἀριστοφανεῖ δ’ αὐτόν, οἷα κωμῳδῷ χλευάζειν εἰωθότι καὶ τὰ σεμνὰ τῶν πραγμάτων, ἀνατίθησιν, ἐν συμποσίῳ τάδε λέγοντα αὐτὸν εἰσάγων ‘δεῖ δὲ — — ἰᾶσθαι ἐκέλευεν’.

*Ioann. Lyd. de menss. p. 117 Bk.* ὁ δὲ Πλάτων ἐν συμποσίῳ φησὶ τοῖς τῆς Ἀφροδίτης γενεθλίοις τὴν Πενίαν προσαιτοῦσαν ἀνελθεῖν, καὶ λάθρᾳ τῷ Πόρῳ μεθυσθέντι τοῦ νέκταρος ἐπιβουλεῦσαι, καὶ οὕτως κυηθῆναι τὸν Ἔρωτα· ὅθεν Μωυσῆς ὁ πολὺς περὶ τῆς ἀνθρωπογονίας ἀλληγορεῖ.



BONNAE FORMIS CAROLI GEORGI